blessed is the mind the(-one) at the time of-the
προσευχῆς τελείαν ἀναισθησίαν κτησάμενος.
prayer perfect insensibility having-acquired

121 Μακάριός ἐστι μοναχός, ὁ πάντων περίψημα ἑαυτὸν
blessed is (the)-monk the(-one) of-all (the)-offscouring himself
λογιζόμενος.
reckoning

122 Μακάριός ἐστι μοναχός, ὁ πάντων τὴν σωτηρίαν, καὶ
blessed is (the)-monk the(-one) of-all the salvation and
προκοπήν, ὡς οἰκείαν κατὰ πάσης χαρᾶς ὁρῶν.
progress as own with all joy seeing

Μακάριός ἐστι μοναχός, ὁ πάντας ἀνθρώπους ὡς 123
blessed is (the)-monk the(-one) all men as
Θεὸν μετὰ Θεὸν λογιζόμενος.
God after God reckoning
Μοναχός ἐστιν, ὁ πάντων χωρισθείς, καὶ πᾶσι 124
(a)-monk is the(-one) from-all separated and to-all
συνηρμοσμένος.
joined
Μοναχός ἐστιν, ὁ ἑαυτὸν μετὰ πάντων ἡγούμενος 125
(a)-monk is the(-one) himself with all regarding
διὰ τὸ ἐν ἑκάστῳ ἑαυτὸν ἀπαραλείπτως δοκεῖν ὁρᾷν.
because-of the in each himself unfailingly to-seem to-see
Οὗτος προσευχὴν ἐπιτελεῖ, ὁ ἀεὶ τὴν πρωτόνοιαν 126
this(-man) prayer accomplishes the(-one) always the first-thought
ἑαυτοῦ πᾶσαν καρποφορῶν τῷ Θεῷ.
his-own all offering-as-fruit — to-God
Πᾶν ψεῦδος, καὶ πάντα ὅρκον περιίστασο ὡς μοναχός, καὶ 127
every lie and every oath avoid as (a)-monk and
προσεύξασθαι ποθῶν, εἰ δὲ μήγε, εἰς μάτην σχηματίζεις
to-pray longing if but not-indeed in vain you-assume
τὸ ἀνοίκειον.
the unbecoming(-garb)
Εἰ πνεύματι προσεύχεσθαι βούλει, μηδὲν ἀνιμήσῃ ἀπὸ 128
if in-spirit to-pray you-wish nothing draw-up from
σαρκὸς καὶ οὐχ ἕξεις νέφος ἀντισκοτοῦν σοι ἐν τῷ
(the)-flesh and not you-will-have (a)-cloud darkening-against you in the
καιρῷ τῆς προσευχῆς.
time of-the prayer
Ἐμπίστευσον τῷ Θεῷ τὴν χρείαν τοῦ σώματος, καὶ 129
entrust — to-God the need of-the body and
δῆλος ἔσῃ καὶ τὴν τοῦ πνεύματος πιστεύων αὐτῷ.
evident you-will-be also the(-need) of-the spirit entrusting to-him

130 Ἐὰν ἐπιτεύξῃ τῶν ἐπαγγελιῶν, βασιλεύσεις, οὐκοῦν πρὸς
if you-attain the promises you-will-reign therefore to
ταῦτα ἀποβλέπων, ἡδέως οἴσεις τὴν παροῦσαν πενίαν.
these(-things) looking gladly you-will-bear the present poverty

131 Μὴ παραιτοῦ πενίαν καὶ θλῖψιν, τὰς ὕλας τῆς ἀβαροῦς
not refuse poverty and affliction the materials of-the unburdened
προσευχῆς.
prayer

132 Ὁμηρευέτωσάν σοι αἱ σωματικαὶ ἀρεταὶ πρὸς τὰς
let-be-hostages for-you the bodily virtues for the
ψυχικάς, καὶ αἱ ψυχικαὶ πρὸς τὰς πνευματικάς. Καὶ
soul(-virtues) and the soul(-virtues) for the spiritual(-ones) and
αὗται πρὸς τὴν ἄϋλον γνῶσιν.
these for the immaterial knowledge

133 Σκόπει κατευχόμενος λογισμῶν, εἰ ῥᾳδίως λωφήσειεν,
consider praying-against thoughts whether easily it-ceased
ὅθεν τοῦτο γέγονε, μὴ ἔγκρυμμα πάθῃς καὶ πλανηθεὶς
whence this has-happened lest (an)-ambush you-suffer and deceived
ἀποδῷς σεαυτόν.
you-give-over yourself

134 Ἔστιν ὅτε οἱ δαίμονες ὑποβάλλουσί σοι λογισμούς,
there-is(-a-time) when the demons suggest to-you thoughts
καὶ πάλιν ἐρεθίζουσί σε δῆθεν προσεύξασθαι κατ᾽ αὐτῶν,
and again provoke you supposedly to-pray against them
ἢ ἀντιλέξαι αὐτοῖς καὶ ἑκουσίως ὑποχωροῦσιν, ἵνα
or to-contradict them and willingly withdraw that
ἀπατηθείς, οἰηθῇς περὶ σεαυτοῦ, ὅτι ἤρξω νικᾶν
deceived you-may-think about yourself that you-began to-conquer
τοὺς λογισμούς, καὶ φοβεῖν τοὺς δαίμονας.
the thoughts and to-frighten the demons

Προσεύχῃ κατὰ πάθους, ἢ δαίμονος παρενοχλοῦντός σοι, 135
you-pray against (a)-passion or demon troubling you
μέμνησο τοῦ λέγοντος· «Καταδιώξω τοὺς ἐχθρούς μου
remember the(-one) saying I-will-pursue the enemies my
καὶ καταλήψομαι αὐτούς, καὶ οὐκ ἀποστραφήσομαι ἕως ἂν
and I-will-overtake them and not I-will-turn-back until —
ἐκλείπωσιν, ἐκθλίψω αὐτούς, καὶ οὐ μὴ δύνωνται στῆναι,
they-fail I-will-press-out them and not — they-will-be-able to-stand
πεσοῦνται ὑπὸ τοὺς πόδας μου,» καὶ τὰ ἑξῆς.
they-will-fall under the feet my and the following(-words)
Ταῦτα δὲ εὐκαίρως λέξεις ταπεινοφροσύνῃ ἑαυτὸν
these(-things) and opportunely you-will-say with-humility yourself
ὁπλίζων κατὰ τῶν ἀντιπάλων.
arming against the adversaries
Μὴ νόμιζε κεκτῆσθαι ἀρετήν, μὴ πρότερον ἕως αἵματος 136
not think to-have-acquired virtue not before to blood
ὑπὲρ αὐτῆς παραταξάμενος, δεῖ γὰρ μέχρι θανάτου
for it having-been-drawn-up (one)-must for until death
ἀντικαθίσασθαι πρὸς τὴν ἁμαρτίαν, ἀγωνιστικῶς, καὶ
to-stand-against toward the sin combatively and
ἀνεγκλήτως κατὰ τὸν θεῖον Ἀπόστολον.
blamelessly according-to the divine Apostle
Ἐὰν ὠφελήσῃς τινά, βλαβήσῃ ὑφ' ἑτέρου, ἵνα 137
if you-benefit someone you-will-be-harmed by another that
ἀδικούμενος εἴκῃς, ἢ δράσῃς τι ἄτοπον, καὶ σκορπίσῃς
being-wronged you-yield or do something unseemly and scatter
κακῶς, ἃ καλῶς συνήγαγες. Σκοπὸς γὰρ τοῦτο τῶν
badly what well you-gathered (the)-aim for (is)-this of-the
πονηρῶν δαιμόνων· διὸ προσεκτέον νουνεχῶς.
evil demons wherefore (one)-must-attend sensibly

138 Ὁρμὰς δαιμόνων ἐπαχθείσας ἐκδέχου φροντίζων πῶς
onsets of-demons brought-on await taking-thought how
ἀποστῇς τῆς δουλείας αὐτῶν.
you-may-depart-from the slavery their

139 Νύκτωρ μὲν ταράττειν δι᾽ ἑαυτῶν ἐξαιτοῦνται τὸν
by-night indeed to-trouble through themselves they-ask-for the
πνευματικὸν διδάσκαλον οἱ δαίμονες. Καὶ μεθ᾽ ἡμέραν δι᾽
spiritual teacher the demons and by day through
ἀνθρώπων περιστάσεσι, καὶ συκοφαντίαις, καὶ κινδύνοις
men with-straits and slanders and dangers
τοῦτον περιβάλλουσι.
him they-surround

140 Μὴ παραιτοῦ τοὺς κναφεῖς· εἰ γὰρ καὶ τύπτουσι πατοῦντες,
not refuse the fullers if for even they-beat treading
καὶ τείνοντες ξαίνουσι, ἀλλά γε διὰ τούτων λαμπρὰ ἡ
and stretching they-card but yet through these(-things) bright the
αἴσθησίς σου γίνεται.
perception your becomes

141 Ἐφ᾽ ὅσον οὐκ ἀπετάξω τοῖς πάθεσιν, ἀλλ᾽ ὁ νοῦς
upon as-much-as not you-renounced the passions but the mind
σου ἐναντιοῦται τῇ ἀρετῇ, καὶ τῇ ἀληθείᾳ, οὐχ εὑρήσεις
your opposes the virtue and the truth not you-will-find
εὐῶδες θυμίαμα ἐν τῷ κόλπῳ σου.
fragrant incense in the bosom your

142 Προσεύξασθαι ποθεῖς; μεταστὰς τῶν ἐνθένδε, τὸ
to-pray you-long having-moved from-the(-things) here the
πολίτευμα, ἔχε ἐν οὐρανοῖς διὰ παντός, οὐ λόγῳ ἁπλῶς
citizenship have in heavens through all(-time) not by-word simply
ψιλῷ, ἀλλὰ πράξει ἀγγελικῇ καὶ γνώσει θειοτέρᾳ.
bare but by-deed angelic and knowledge more-divine

Εἰ μόνον δυσπραγῶν μνημονεύεις τοῦ Κριτοῦ, ὡς φοβερός, 143
if only faring-ill you-remember — Judge that fearful
καὶ ἀδέκαστος ὑπάρχει, οὐδέπω μεμάθηκας δουλεύειν
and incorruptible he-is not-yet have-you-learned to-serve
Κυρίῳ ἐν φόβῳ, καὶ ἀγαλλιᾶσθαι αὐτῷ ἐν τρόμῳ. Ἴσθι
(the)-Lord in fear and to-rejoice in-him with trembling know
γάρ, ὅτι κἂν ταῖς πνευματικαῖς ἀνέσεσι, καὶ εὐωχίαις
for that even-in the spiritual relaxations and feastings
μᾶλλον μετ᾽ εὐλαβείας καὶ αἰδοῦς δεῖ λατρεύειν αὐτῷ.
rather with reverence and modesty (one)-must to-worship him
Ἐπιγνώμων ἀνήρ, ὁ μὴ πρὸ τῆς τελείας μετανοίας 144
(a)-discerning man (is)-the(-one) not before the perfect repentance
ἀνασχόμενος τῆς ἐλλύπου μνείας τῶν οἰκείων ἁμαρτημάτων,
having-ceased-from the grievous memory of-the own sins
καὶ τῆς ἐν πυρὶ αἰωνίῳ δίκης, τῆς τούτων εἰσπράξεως.
and of-the in fire eternal penalty of-the of-these exaction
Ὁ ἐν ἁμαρτίαις ἐνεχόμενος, καὶ παροργισμοῖς, καὶ 145
the(-one) in sins held and provocations and
τολμῶν ἀναιδῶς ἐκτείνεσθαι πρὸς γνῶσιν θειοτέρων
daring shamelessly to-stretch-out to (the)-knowledge of-more-divine
πραγμάτων, ἢ καὶ ἀΰλου κατεπεμβαίνων προσευχῆς,
things or even (on)-immaterial treading prayer
οὗτος δεχέσθω τὸ ἀποστολικὸν ἐπιτίμιον, ὡς οὐκ
this(-man) let-receive the apostolic rebuke that not
ἔστιν ἀκίνδυνον αὐτῷ, τὸ γυμνῇ, καὶ ἀκαλύπτῳ κεφαλῇ
is safe for-him the with-bare and uncovered head
προσεύχεσθαι. «Ὀφείλει γάρ, φησίν, ἡ τοιαύτη κατὰ
to-pray she-ought for he-says the such(-one) on
κεφαλῆς ἐξουσίαν ἔχειν, διὰ τοὺς ἐφεστῶτας ἀγγέλους,»
(the)-head authority to-have because-of the standing-by angels
αἰδώ, καὶ ταπεινοφροσύνην προσήκουσαν περιβαλλομένη.
modesty and humility fitting putting-on

146 Ὥσπερ ὀφθαλμιῶντα οὐκ ὀνήσει ἡ ἐν σταθηρᾷ μεσημβρίᾳ,
as (one)-with-sore-eyes not will-profit the at steady noon
καὶ σφοδροτάτῃ φρυκτωρίᾳ ἀκατάληπτος, καὶ ἐπιτεταμένη
and most-violent blaze incomprehensible and intense
τοῦ ἡλίου θέα, οὕτως οὐδὲ τὸν ἐμπαθῆ, καὶ ἀκάθαρτον νοῦν,
of-the sun view thus not-even the passionate and unclean mind
ἡ τῆς ἐν πνεύματι, καὶ ἀληθείᾳ φοβερᾶς, καὶ ὑπερφυοῦς
the of-the in spirit and truth fearful and supernatural
προσευχῆς ἀνατύπωσις παντελῶς ὀνήσειεν, ἀλλὰ καὶ
prayer imprint at-all would-profit but even
τοὐναντίον πρὸς ἀγανάκτησιν καθ' ἑαυτοῦ ἐγείρει τὸ Θεῖον.
on-the-contrary to indignation against itself it-rouses the Divine
147 Εἰ τὸν μετὰ δώρου προσελθόντα ἐπὶ τὸ θυσιαστήριον
if the(-one) with (a)-gift having-come to the altar
οὐκ ἐδέξατο, ὁ ἀνενδεής, καὶ ἀδέκαστος ἕως τοῦ
not received the(-one) without-need and incorruptible until the
διαλλαγῆναι τῷ πλησίον λυπουμένῳ πρὸς αὐτόν, σκόπει
to-be-reconciled to-the neighbor grieving against him consider
πόσης φυλακῆς καὶ διακρίσεως χρεία, ἵνα εὐπρόσδεκτον
how-much watch and discernment (there-is)-need that acceptable
δῶμεν τῷ Θεῷ θυμίαμα ἐν τῷ νοητῷ θυσιαστηρίῳ.
we-may-give — to-God incense on the intelligible altar
148 Μὴ ἔσο λογοχαρής, μηδὲ δοξοχαρής, εἰ δὲ μήγε, οὐκ ἔτι
not be word-loving nor glory-loving if but not-indeed no longer
ἐν τῷ νώτῳ σου, ἀλλ' ἐν τῷ προσώπῳ σου τεκταίνουσιν
on the back your but on the face your build
οἱ ἁμαρτωλοί, καὶ ἔσῃ ἐπίχαρμα αὐτοῖς κατὰ τὸν
the sinners and you-will-be (a)-joy to-them at the
καιρὸν τῆς προσευχῆς, ἐξελκόμενος, καὶ δελεαζόμενος ὑπ'
time of-the prayer dragged-away and enticed by
αὐτῶν ἐν λογισμοῖς ἀλλοκότοις.
them into thoughts strange

Προσοχὴ προσευχὴν ζητοῦσα, προσευχὴν εὑρήσει· προσευχὴ 149
attention prayer seeking prayer will-find prayer
γὰρ προσοχῇ εἰ καὶ ἄλλο ἕπεται, ἐφ᾽ ἣν σπουδαστέον.
for attention if even another(-thing) follows to which (one)-must-be-eager
Ὥσπερ πασῶν τῶν αἰσθήσεων κρείττων ἡ ὅρασις, 150
as of-all the senses better (is)-the sight
οὕτω καὶ πασῶν τῶν ἀρετῶν, προσευχὴ θειοτέρα.
thus also of-all the virtues prayer (is)-more-divine
Προσευχῆς ἔπαινος, οὐχ ἁπλῶς ἡ ποσότης, ἀλλ᾽ ἡ 151
of-prayer (the)-praise (is)-not simply the quantity but the
ποιότης, καὶ τοῦτο δηλοῦσιν οἱ ἀναβάντες εἰς τὸ ἱερόν,
quality and this show the(-ones) having-gone-up to the temple
καὶ τό, «Ὑμεῖς προσευχόμενοι, μὴ βαττολογήσητε·»
and the(-saying) you praying not babble
καὶ τὰ ἑξῆς.
and the following(-words)
Ἐφ᾽ ὅσον τῇ ἀναλογίᾳ προσέχεις τοῦ σώματος, καὶ 152
upon as-much-as to-the proportion you-attend of-the body and
ὁ νοῦς σου τὰ τῆς σκηνῆς περιέπει τερπνά, οὐδέπω
the mind your the(-things) of-the tent tends pleasant not-yet
τῆς προσευχῆς ἑώρακας τόπον· ἀλλὰ μακρὰν ἀπὸ σοῦ
the of-prayer have-you-seen place but far from you
ἡ μακαρία ταύτης ὁδὸς τυγχάνει.
the blessed of-it way happens(-to-be)
Ὅταν παριστάμενος εἰς προσευχὴν ὑπὲρ πᾶσαν ἄλλην 153
when standing for prayer beyond every other
χαρὰν γένῃ, τότε ἀληθῶς εὕρηκας προσευχήν.
joy you-become then truly you-have-found prayer

MARK THE MONK

ΠΕΡΙ ΝΟΜΟΥ ΠΝΕΥΜΑΤΙΚΟΥ

On the Spiritual Law

Περὶ νόμου πνευματικοῦ

XI · THE PREFACE TO ON THE SPIRITUAL LAW

Mark's readers have often asked how the law is spiritual, as the Apostle says, and what knowledge and working belong to those who wish to keep it. For their sake he has written what follows as far as he is able.

Ἐπειδὴ πολλάκις ἐβουλήθητε γνῶναι, πῶς ὁ νόμος
since often you-wished to-know how the law
πνευματικός ἐστι, κατὰ τὸν θεῖον Ἀπόστολον· καὶ τίς
spiritual is according-to the divine Apostle and what
ἡ γνῶσις, καὶ ἡ ἐνέργεια τῶν φυλάττειν αὐτὸν
(is)-the knowledge and the working of-the(-ones) to-keep it
βουλομένων, τούτου χάριν κατὰ δύναμιν εἰρήκαμεν.
wishing of-this for-the-sake according-to power we-have-spoken

XII · ON THE SPIRITUAL LAW, 1–50

God is the beginning, middle, and end of every good, which cannot be done or believed except in Christ and the Spirit. The humble man reads Scripture as written for himself. The man who prays bodily is the blind man crying to the Son of David; the one who sees confesses the Son of God. The one wronged by men escapes sin and finds help in proportion to his affliction, and the law of freedom is read by knowledge, understood by keeping the commandments, and fulfilled by Christ's compassion, not human virtue.

Πρῶτον, ὅτι Θεὸν οἴδαμεν παντὸς ἀγαθοῦ εἶναι αἴτιον, 1
first that God we-know of-every good to-be (the)-cause
καὶ ἀρχήν, καὶ μεσότητα, καὶ τέλος· τὸ δὲ ἀγαθόν,
and beginning and middle and end the and good

ἀμήχανον ἐνεργεῖν ἢ πιστεύεσθαι, εἰ μὴ ἐν Χριστῷ
(it-is)-impossible to-work or to-be-believed except — in Christ
Ἰησοῦ καὶ ἁγίῳ Πνεύματι.
Jesus and holy Spirit

2 Πᾶν ἀγαθὸν παρὰ Κυρίου δεδώρηται· καὶ ὁ οὕτω
every good by (the)-Lord has-been-given and the(-one) thus
πιστεύων, οὐκ ἀπολέσει αὐτό. Ἡ δὲ βεβαία πίστις, πύργος
believing not will-lose it the but firm faith (a)-tower
ἐστὶν ἰσχυρός· Χριστὸς δὲ τὰ πάντα τῷ πιστεύοντι
is strong Christ and the all(-things) to-the(-one) believing
γίνεται.
becomes

3 Καταρχέτω σου πάσης προθέσεως, ὁ κατάρχων
let-begin your every purpose the(-one) beginning
παντὸς ἀγαθοῦ, ὅπως κατὰ Θεὸν γένοιτο τὸ
every good that according-to God may-come-about the(-thing)
προκείμενον.
set-before(-you)

4 Ὁ ταπεινόφρων καὶ ἔργον ἔχων πνευματικόν, ἀναγινώσκων
the humble-minded(-man) and work having spiritual reading
τὰς θείας Γραφάς, πάντα εἰς ἑαυτὸν νοήσει, καὶ οὐκ εἰς
the divine Scriptures all(-things) to himself will-apply and not to
ἕτερον.
another

5 Ἐπικαλοῦ τὸν Κύριον, ἵνα ἀνοίξῃ τοὺς ὀφθαλμοὺς τῆς
call-upon the Lord that he-open the eyes of-the
καρδίας σου, καὶ ἴδῃς τὴν ὠφέλειαν τῆς προσευχῆς καὶ
heart your and you-see the benefit of-the prayer and
ἀναγνώσεως.
reading

Ὁ ἔχων τι χάρισμα, καὶ συμπάσχων τοῖς μὴ ἔχουσι, 6
the(-one) having some gift and sympathizing-with the(-ones) not having
διὰ τῆς συμπαθείας φυλάσσει τὸ δώρημα. Ὁ δὲ ἀλαζὼν
through the sympathy guards the gift the(-one) but boastful
ἀπολεῖ αὐτό, τοῖς τῆς ἀλαζονείας πειρασμοῖς περικρουόμενος.
will-lose it by-the of-the boastfulness temptations battered
Στόμα ταπεινόφρονος λαλήσει ἀλήθειαν· ὁ δὲ 7
(the)-mouth of-(the)-humble-minded will-speak truth the(-one) but
ἀντιλέγων αὐτῇ, ὅμοιός ἐστι τῷ ὑπηρέτῃ ἐκείνῳ, τῷ
contradicting it like is to-the servant that the(-one)
ἐπὶ σιαγόνα τὸν Κύριον ῥαπίσαντι.
on (the)-jaw the Lord having-struck
Μὴ γίνου μαθητὴς τοῦ ἐπαίροντος ἑαυτόν, ἵνα μὴ 8
not become (a)-disciple of-the(-one) exalting himself that not
ἀντὶ ταπεινοφροσύνης ὑπερηφάνειαν μάθῃς.
instead-of humility pride you-learn
Μὴ ἐπαρθῇς ἐν τῇ καρδίᾳ σου ἐπὶ νοήμασι γραφικοῖς, 9
not be-lifted-up in the heart your at notions scriptural
μήποτε τῷ πνεύματι τῆς βλασφημίας περιπέσῃς.
lest-ever into-the spirit of-the blasphemy you-fall
Μὴ πειρῶ πρᾶγμα σκολιὸν ἐπιλῦσαι διὰ φιλονεικίας, 10
not try (a)-thing crooked to-untie through contentiousness
ἀλλὰ δι' ὧν ὁ πνευματικὸς παρακελεύεται νόμος, δι'
but through what the spiritual commands law through
ὑπομονῆς, καὶ προσευχῆς, καὶ μονολογίστου ἐλπίδος.
patience and prayer and single-thoughted hope
Τυφλός ἐστι κράζων καὶ λέγων· Υἱὲ Δαβίδ, ἐλέησόν 11
blind is crying and saying Son of-David pity
με, ὁ προσευχόμενος σωματικῶς, καὶ μήπω ἔχων
me the(-one) praying bodily and not-yet having
γνῶσιν πνευματικήν. Ὁ ποτὲ τυφλὸς ἀναβλέψας
knowledge spiritual the(-one) once blind having-recovered-sight

καὶ ἰδὼν τὸν Κύριον, οὐκέτι υἱὸν Δαβίδ, ἀλλ᾽ Υἱὸν
and having-seen the Lord no-longer son of-David but Son
Θεοῦ ὁμολογήσας προσεκύνησε.
of-God having-confessed worshiped

12 Μὴ ἐπαρθῇς ἐκχέων δάκρυον ἐν προσευχῇ σου· Χριστὸς
not be-lifted-up pouring (a)-tear in prayer your Christ
γὰρ ἥψατο τῶν ὀφθαλμῶν τῆς καρδίας σου, καὶ νοερῶς
for touched the eyes of-the heart your and intellectually
ἀνέβλεψας.
you-recovered-sight

13 Ὁ κατὰ μίμησιν τοῦ τυφλοῦ ἀποβαλὼν τὸ ἱμάτιον,
the(-one) in imitation of-the blind(-man) having-cast-off the garment
καὶ ἐγγίσας τῷ Κυρίῳ, ἀκολουθεῖ αὐτῷ, καὶ κήρυξ
and having-drawn-near to-the Lord follows him and (a)-herald
γίνεται τῶν τελειοτέρων δογμάτων.
becomes of-the more-perfect doctrines

14 Κακία ἐν λογισμοῖς μελετωμένη, θρασύνει καρδίαν·
vice in thoughts meditated emboldens (the)-heart
ἀναιρουμένη δι᾽ ἐγκρατείας καὶ ἐλπίδος, συντρίβει αὐτήν.
destroyed through self-control and hope crushes it

15 Ἔστι συντριμμὸς καρδίας ὁμαλὸς καὶ ἐπωφελής, εἰς
there-is (a)-crushing of-(the)-heart even and beneficial to
κατάνυξιν αὐτῆς· καὶ ἔστιν ἕτερος ἀνώμαλος καὶ ἐπιβλαβής,
compunction its and there-is another uneven and harmful
εἰς πλῆξιν αὐτῆς.
to (the)-striking its

16 Ἀγρυπνία, καὶ προσευχή, καὶ τῶν ἐπερχομένων
vigil and prayer and of-the(-things) coming-on
ὑπομονή, συντριμμός ἐστιν ἀνεπηρέαστος, καὶ ἐπωφελὴς
patience (a)-crushing is untroubled and beneficial
τῇ καρδίᾳ, μόνον εἰ μὴ διά τινος πλεονεξίας ἐγκόψομεν
to-the heart only if not through some greed we-cut-off

αὐτῶν τὴν σύγκρασιν. Ὁ γὰρ ἐν τούτοις ὑπομένων,
their the blending the(-one) for in these(-things) enduring
καὶ ἐν τοῖς λοιποῖς βοηθήσεται· ὁ δὲ ἀμελῶν καὶ
also in the others will-be-helped the(-one) but neglecting and
διαχεόμενος, ἐν ἐξόδῳ ἀφορήτως ὀδυνηθήσεται.
dissipated at (the)-departure unbearably will-be-pained
Φιλήδονος καρδία, εἱρκτὴ καὶ ἅλυσις τῇ ψυχῇ ἐν 17
(a)-pleasure-loving heart (is)-(a)-prison and (a)-chain for-the soul in
καιρῷ ἐξόδου· ἡ δὲ φιλόπονος, θύρα ἐστὶν ἀνεῳγμένη.
time of-departure the but labor-loving (a)-door is opened
Σιδηρᾶ πύλη ἐπὶ τὴν πόλιν ἀπάγουσα, ἐστὶ σκληρὰ 18
(an)-iron gate to the city leading is (a)-hard
καρδία. Τῷ δὲ κακοπαθοῦντι καὶ τεθλιμμένῳ αὐτομάτη
heart to-the but suffering-hardship and afflicted of-itself
ἀνοιχθήσεται, καθὼς καὶ τῷ μακαρίῳ Πέτρῳ.
it-will-be-opened as also to-the blessed Peter
Πολλοὶ μὲν εἰσὶ προσευχῆς τρόποι, ἕτερος ἑτέρου 19
many indeed are of-prayer ways one than-another
διαφορώτερος. Ὅμως οὐδὲ εἷς τρόπος εὐχῆς ἐπιβλαβὴς
more-different nevertheless not-even one way of-prayer harmful
τυγχάνει· εἰ μή τε ἂν οὐκ ἔστιν εὐχή, ἀλλ᾽ ἐργασία σατανική.
happens(-to-be) if not and — not it-is prayer but (a)-work satanic
Ἄνθρωπος κακοποιῆσαι θέλων, πρῶτον ηὔξατο κατὰ 20
(a)-man to-do-evil wishing first prayed according-to
συνήθειαν· καὶ οἰκονομικῶς ἐμποδισθείς, ὕστερον
custom and by-dispensation hindered later
εὐχαρίστησεν.
gave-thanks

21 Ὁ Δαβὶδ φονεῦσαι βουληθεὶς Ναβὰλ τὸν Καρμήλιον,
— *David to-kill having-wished Nabal the Carmelite*
ὑπόμνησιν λαβὼν περὶ θείας ἀνταποδόσεως, ἐγκοπεὶς
reminder having-received about divine requital cut-off
τῆς προθέσεως, πολλὰ εὐχαρίστησεν.
from-the purpose much gave-thanks

22 Οἴδαμεν δὲ πάλιν ἃ πεποίηκεν ἐπιλαθόμενος τοῦ Θεοῦ·
we-know and again what he-did having-forgotten — God
καὶ οὐκ ἐπαύετο, ἕως ὁ Νάθαν αὐτὸν εἰς μνήμην
and not he-ceased until — Nathan him into remembrance
κατέστησεν.
brought

23 Ἐν καιρῷ μνήμης Θεοῦ πολυπλασίασον δέησιν, ἵνα
in time of-remembrance of-God multiply supplication that
ὅταν ἐπιλάθῃς, ὁ Κύριος ὑπομνήσῃ σε.
when you-forget the Lord may-remind you

24 Ὁ ἀναγινώσκων τὰς θείας Γραφάς, νόησον τὰ
the(-one) reading the divine Scriptures understand the
κεκρυμμένα. Ὅσα γὰρ προεγράφη, φησίν, εἰς τὴν
hidden(-things) as-many-as for were-written-before he-says for the
ἡμετέραν διδασκαλίαν προεγράφη.
our teaching were-written-before

25 Τὴν πίστιν ἡ Γραφὴ λέγει, ἐλπιζομένων ὑπόστασιν· καὶ
the faith the Scripture calls of-things-hoped-for (the)-substance and
τοὺς μὴ ἐπιγινώσκοντας τὴν ἐνοίκησιν τοῦ Χριστοῦ,
the(-ones) not recognizing the indwelling — of-Christ
τούτους ἀδοκίμους εἴρηκεν.
these reprobate it-has-called

Ὥσπερ δι᾽ ἔργων καὶ λόγων φανεροῦται ἔννοια, 26
as through works and words is-made-manifest (a)-thought
οὕτω διὰ τῶν καρδιακῶν ἐνεργημάτων ἡ μέλλουσα
thus through the heart's workings the coming
ἀνταπόδοσις.
requital

Οἰκτίρμων καρδία δῆλον ὅτι οἰκτειρήσεται· καὶ ἐλεηθήσεται 27
(a)-pitying heart clear that will-be-pitied and will-be-shown-mercy
ὁμοίως ἐλεήμων. Τὰ δὲ ἐναντία, ἡ ἀκολουθία
likewise (the)-merciful(-one) the but opposite(-things) the sequence
ἀντιπεφώνηκεν.
has-answered

Ὁ νόμος τῆς ἐλευθερίας διδάσκει πᾶσαν ἀλήθειαν· καὶ 28
the law of-the freedom teaches all truth and
οἱ μὲν πολλοὶ τοῦτον κατὰ γνῶσιν ἀναγινώσκουσιν·
the indeed many it according-to knowledge read
ὀλίγοι δὲ νοοῦσιν αὐτὸν κατὰ ἀναλογίαν τῆς ἐργασίας
few but understand it according-to proportion of-the working
τῶν ἐντολῶν.
of-the commandments

Μὴ ζήτει αὐτοῦ τὴν τελειότητα ἐν ἀρεταῖς ἀνθρωπίναις· 29
not seek its the perfection in virtues human
τέλειος γὰρ ἐν αὐταῖς οὐχ εὑρίσκεται. Ἡ γὰρ τελειότης
perfect for in them not it-is-found the for perfection
αὐτοῦ ἐν τῷ σταυρῷ τοῦ Χριστοῦ ἐγκέκρυπται.
its in the cross — of-Christ is-hidden

Ὁ νόμος τῆς ἐλευθερίας διὰ μὲν γνώσεως ἀληθοῦς 30
the law of-the freedom through indeed knowledge true
ἀναγινώσκεται· διὰ δὲ ἐργασίας τῶν ἐντολῶν νοεῖται·
is-read through but working of-the commandments is-understood

πληροῦται δὲ διὰ τῶν οἰκτιρμῶν τοῦ Κυρίου ἡμῶν
is-fulfilled but through the compassions of-the Lord our
Ἰησοῦ Χριστοῦ.
Jesus Christ

31 Ὅταν πρὸς πάσας τὰς ἐντολὰς τοῦ Θεοῦ διὰ
when toward all the commandments — of-God through
συνειδήσεως κατορθοῦσθαι βιαζώμεθα, τότε νοήσομεν
conscience to-be-achieved we-force(-ourselves) then we-shall-understand
τὸν νόμον τοῦ Κυρίου ἄμωμον, ἐν τοῖς ἡμετέροις μὲν
the law of-the Lord blameless in the our indeed
καλοῖς ἐπιτηδευόμενον· χωρὶς δὲ οἰκτιρμῶν τοῦ Θεοῦ,
good(-deeds) practiced without but (the)-compassions — of-God
ἐν ἀνθρώποις τελειωθῆναι μὴ δυνάμενον.
in men to-be-perfected not able

32 Ὅσοι πάσης ἐντολῆς Χριστοῦ ἑαυτοὺς ὀφειλέτας
as-many-as of-every commandment of-Christ themselves debtors
οὐκ ἐλογίσαντο, οὗτοι τὸν τοῦ Θεοῦ νόμον σωματικῶς
not reckoned these the — of-God law bodily
ἀναγινώσκουσι, μὴ νοοῦντες μήτε ἃ λέγουσι, μήτε περὶ
read not understanding neither what they-say nor about
τίνος διαβεβαιοῦνται· διὸ καὶ πληροῦν αὐτὸν ἐξ ἔργων
what they-affirm wherefore also to-fulfill it from works
νομίζουσιν.
they-think

33 Ἔστι πρᾶγμα προφανῶς ἐπιτελούμενον, ὡς καλόν, καὶ ὁ
there-is (a)-thing openly accomplished as good and the
σκοπὸς τοῦ ἐπιτελοῦντος αὐτό, εἰς πονηρόν· καὶ ἔστιν
aim of-the(-one) accomplishing it to evil and there-is
ἕτερον ὡς πονηρόν, καὶ ὁ σκοπὸς τοῦ ἐπιτελοῦντος
another as evil and the aim of-the(-one) accomplishing
αὐτό, εἰς ἀγαθόν.
it to good

Οὐ μόνον δὲ ἔργα ποιοῦσί τινες, ἀλλὰ καὶ λόγους λαλοῦσι 34
not only and works do some but also words speak
τῷ τρόπῳ ᾧ προειρήκαμεν. Οἱ μὲν γὰρ ἐναλλάσσουσι
in-the manner which we-said-before the(-ones) indeed for exchange
πράγματα κατὰ ἀπειρίαν ἢ ἄγνοιαν· οἱ δὲ ἐναλλάσσουσι
things by inexperience or ignorance the(-ones) but exchange(-them)
κατὰ πρόθεσιν πονηρίας· ἕτεροι δὲ κατὰ σκοπὸν εὐσεβείας.
by purpose of-wickedness others but by aim of-piety
Ὁ ἐν προβολῇ ἐπαίνου ἐγκρύπτων διαβολήν, δυσεύρετός 35
the(-one) in (a)-show of-praise hiding slander hard-to-find
ἐστι τοῖς ἁπλουστέροις· ὅμοιος δὲ τούτῳ ἐστὶν ὁ
is for-the simpler(-ones) like and to-this(-man) is the(-one)
κενοδοξῶν ἐν ταπεινῷ σχήματι.
being-vainglorious in (a)-humble bearing
Οἵτινες ἐπὶ πολὺ κατασοφισάμενοι τὴν ἀλήθειαν ἐν τῷ 36
who for long having-sophisticated-against the truth in the
ψεύδει, παραχωρηθέντες ὕστερον, διὰ τῶν πραγμάτων
lie allowed later through the facts
ἐξελέγχονται.
are-convicted
Ἔστι ποιῶν τις προφανὲς ὡς καλὸν τῷ πλησίον 37
there-is doing someone openly as good to-the neighbor
ἀμυνόμενος· καὶ ἔστιν ἐν τῷ μὴ ποιῆσαι αὐτὸν ὠφεληθεὶς
avenging(-himself) and there-is in the not to-do him benefited
κατὰ διάνοιαν.
in thought
Ἔστιν ἔλεγχος κατὰ κακίαν, καὶ δι᾽ ἄμυναν· καὶ ἔστιν 38
there-is reproof according-to vice and for vengeance and there-is
ἕτερος κατὰ φόβον Θεοῦ, καὶ ἀλήθειαν.
another according-to fear of-God and truth

39 Τὸν παυσάμενον καὶ μετανοοῦντα μηκέτι ἔλεγχε. Εἰ
the(-one) having-ceased and repenting no-longer reprove if
δὲ λέγεις κατὰ Θεὸν ἐλέγχειν, πρῶτον τὰ σὰ κακὰ
but you-say according-to God to-reprove first the your evils
φανεροποίησον.
make-manifest

40 Πάσης ἀρετῆς κατάρχει Θεός, καὶ τοῦ μεθημερινοῦ φωτὸς
of-every virtue is-the-beginning God and of-the daytime light
ὁ ἥλιος.
the sun

41 Ποιήσας ἀρετήν, μνήσθητι τοῦ εἰρηκότος, ὅτι Χωρὶς
having-done virtue remember the(-one) having-said that without
ἐμοῦ οὐ δύνασθε ποιεῖν οὐδέν.
me not you-can to-do nothing

42 Διὰ θλίψεως τὰ ἀγαθὰ τοῖς ἀνθρώποις ἡτοίμασται·
through affliction the good(-things) for-the men have-been-prepared
ὁμοίως καὶ τὰ κακὰ διὰ κενοδοξίας καὶ ἡδονῆς.
likewise also the evil(-things) through vainglory and pleasure

43 Ἐκφεύγει ἀπὸ ἁμαρτίας ὁ παρὰ ἀνθρώπων ἀδικούμενος,
escapes from sin the(-one) by men wronged
καὶ ὁμοίαν τῆς θλίψεως εὑρίσκει τὴν ἀντίληψιν.
and like of-the affliction finds the help

44 Ὁ μὴ πιστεύων τῷ Χριστῷ περὶ ἀνταποδόσεως, πᾶσαν
the(-one) not believing — Christ about requital every
ἀδικίαν ὑπομένει κατὰ ἀναλογίαν τῆς πίστεως.
injustice endures according-to proportion of-the faith

45 Ὁ ἀδικούντων ἀνθρώπων ὑπερευχόμενος καταράσσει
the(-one) for-wronging men praying dashes-down
τοὺς δαίμονας· ὁ δὲ τοῖς πρώτοις ἀντιτασσόμενος,
the demons the(-one) but to-the first opposing
ὑπὸ τῶν δευτέρων τιτρώσκεται.
by the second is-wounded

Κρείσσων πλημμέλεια ἀνθρώπων, καὶ μὴ δαιμόνων· ὁ 46
better (is-the)-offense of-men and not of-demons the(-one)
δὲ εὐαρεστῶν τῷ Κυρίῳ, ἀμφοτέρους ἐνίκησε.
but pleasing the Lord both conquered
Πᾶν ἀγαθὸν παρὰ Θεοῦ οἰκονομικῶς παραγίνεται· διαφεύγει 47
every good from God by-dispensation comes escapes
δὲ μυστικῶς τοὺς ἀγνώμονας καὶ ἀχαρίστους καὶ ἀεργούς.
but mystically the unfeeling and ungrateful and idle
Πᾶσα κακία εἰς τὴν ἀπηγορευμένην ἡδονὴν καταλήγει, 48
every vice into the forbidden pleasure ends
καὶ πᾶσα ἀρετὴ εἰς παράκλησιν πνευματικήν. Καὶ ἡ
and every virtue into consolation spiritual and the
μὲν προτέρα κρατοῦσα, προσερεθίζει τὰ οἰκεῖα· καὶ ἡ
indeed former prevailing provokes the own(-things) and the
δευτέρα δέ, ὁμοίως τὰ συγγενῆ.
second and likewise the kindred(-things)
Ὀνειδισμὸς ἀνθρώπων θλῖψιν παρέχει τῇ καρδίᾳ· ἀγνείας 49
reproach of-men affliction provides to-the heart of-purity
δὲ γίνεται αἰτία τῷ ὑπομένοντι.
but becomes (the)-cause for-the(-one) enduring(-it)
Ἄγνοια ἀντιλέγειν πρὸς τὰ ὠφέλιμα παρασκευάζει· καὶ 50
ignorance to-contradict against the profitable(-things) prepares(-one) and
θρασυνομένη αὔξει τὰς κακίας.
being-emboldened increases the vices

Accept hardship, cast off greed, and do not hide a secret sin, for all things lie naked to God. Hades is ignorance and perdition forgetfulness. Knowledge without practice is a reed staff that pierces the hand in battle, and the devil makes small sins seem trivial.

51 Τὰ προεγκείμενα μηδὲν ζημιούμενος, τὰ θλιβερὰ
(in)-the(-things) lying-before(-you) nothing losing the grievous(-things)
προσδέχου· καὶ ὡς ἀποδώσων λόγον, πλεονεξίαν ἀπόβαλε.
accept and as about-to-render (an)-account greed cast-off

52 Ἁμαρτήσας λαθραίως, μὴ πειρῶ λανθάνειν· Πάντα γὰρ
having-sinned secretly not try to-escape-notice all(-things) for
γυμνὰ τετραχηλισμένα τοῖς ὀφθαλμοῖς αὐτοῦ, πρὸς ὃν
(are)-naked laid-bare to-the eyes his to whom
ἡμῖν ὁ Λόγος.
for-us (is)-the account

53 Κατὰ διάνοιαν σεαυτὸν ἐπιδείκνυε τῷ Δεσπότῃ· Ἄνθρωπος
in thought yourself show to-the Master man
γὰρ εἰς πρόσωπον, ὁ δὲ Θεὸς εἰς καρδίαν ὁρᾷ.
for to (the)-face the but God to (the)-heart looks

54 Μηδὲν λογίζου ἢ πρᾶττε ἄνευ σκοποῦ. Ὁ γὰρ
nothing think or do without aim the(-one) for
ἀσκόπως ὁδοιπορῶν, ματαιοπονήσει.
aimlessly journeying will-labor-in-vain

55 Τῷ ἐκτὸς ἀνάγκης ἁμαρτάνοντι δυσμετανόητα
for-the(-one) without necessity sinning hard-to-repent
γίνεται· διότι ἀλάθητος ἡ τοῦ Θεοῦ δικαιοσύνη.
(things)-become because unescaping(-is) the — of-God righteousness

Σύμβασις ὀδυνηρὰ μνήμην Θεοῦ παρέχει τῷ συνετῷ· 56
(an)-occurrence painful remembrance of-God provides to-the intelligent(-man)
θλίβουσα κατὰ ἀναλογίαν τὸν ἐπιλανθανόμενον τοῦ
afflicting in proportion the(-one) forgetting the
Κυρίου.
Lord

Πᾶς ἀκούσιος πόνος γινέσθω σοι μνήμης Θεοῦ 57
every involuntary pain let-become for-you of-remembrance of-God
διδάσκαλος· καὶ οὐκ ἐπιλείψει σοι ἀφορμὴ πρὸς μετάνοιαν.
(a)-teacher and not will-fail you (an)-occasion for repentance

Λήθη καθ' ἑαυτὴν οὐδεμίαν ἔχει δύναμιν, ἀλλ' ἐκ τῶν 58
forgetfulness by itself no has power but from the
ἡμετέρων ἀμελειῶν κατ' ἀναλογίαν κρατύνεται.
our negligences in proportion is-strengthened

Μὴ λέγε· Τί ποιήσω, ὅ τι οὐκ ἐθέλω, καὶ ἔρχεται; 59
not say what shall-I-do that which not I-wish and it-comes
Διότι μνημονεύων παρελογίσω τὸ ὀφειλόμενον.
because remembering you-miscalculated the(-thing) owed

Ὃ γὰρ μνημονεύεις, ποίησον· καὶ ὃ ἀμνημονεῖς, 60
what for you-remember do and what you-forget
ἀποκαλύπτεταί σοι· καὶ οὐ μὴ παραδῷς ἀκρίτως τὴν
is-revealed to-you and not — you-will-hand-over indiscriminately the
ἔννοιαν λήθῃ.
thought to-forgetfulness

Ἡ Γραφή φησιν· Ἅδης, καὶ ἀπώλεια φανερὰ παρὰ 61
the Scripture says Hades and perdition (are)-manifest before
Κυρίῳ. Ταῦτα δὲ περὶ καρδιακῆς ἀγνοίας καὶ λήθης
(the)-Lord these(-things) and about heart's ignorance and forgetfulness
λέγει.
it-says

62 Ἅδης ἐστὶν ἄγνοια· ἀπώλεια δέ ἐστι λήθη. Ἀμφότερα
Hades is ignorance perdition and is forgetfulness both
δέ ἐστιν ἀφάνερα· διότι ἐξ ὑπαρχόντων ἀπώλοντο.
and are unseen because from existing(-things) they-perished

63 Τὰ σὰ περιεργάζου κακά, καὶ μὴ τὰ τοῦ πλησίον·
the your busy-yourself-with evils and not the(-evils) of-the neighbor
καὶ οὐ μὴ συλλυθῇ σου τὸ νοερὸν ἐργαστήριον.
and not — will-be-dissolved your the intellectual workshop

64 Πάντων τῶν κατὰ δύναμιν καλῶν, δυσχώρητος ἡ
of-all the according-to power good(-things) hard-to-pardon (is)-the
ἀμέλεια· ἐλεημοσύνη δὲ καὶ προσευχὴ ἀνακαλεῖται τοὺς
negligence almsgiving but and prayer calls-back the(-ones)
ἀμελήσαντας.
having-neglected

65 Πᾶσα θλῖψις κατὰ Θεόν, ἔργον ἐστὶν εὐσεβείας
every affliction according-to God (a)-work is of-piety
ἐνυπόστατον· ἡ γὰρ ἀληθινὴ ἀγάπη δι᾽ ἐναντίων
substantial the for true love through opposites
δοκιμάζεται.
is-tested

66 Μὴ λέγε κεκτῆσθαι ἀρετὴν ἐκτὸς θλίψεως· ἀδόκιμος γάρ
not say to-have-acquired virtue without affliction untested for
ἐστι διὰ τὴν ἄνεσιν.
it-is because-of the relaxation

67 Πάσης ἑκουσίου θλίψεως ἀναλογίζου τὴν ἔκβασιν, καὶ
of-every voluntary affliction reckon the outcome and
εὑρήσεις ἐν αὐτῇ ἁμαρτίας ἀναίρεσιν.
you-will-find in it of-sin (the)-destruction

68 Πολλαὶ συμβουλίαι τοῦ πέλας πρὸς τὸ συμφέρον· ἑκάστῳ
many (the)-counsels of-the neighbor for the profitable for-each
δὲ τῆς ἰδίας γνώμης οὐδὲν ἁρμοδιώτερον.
but than-the own judgment nothing (is)-more-fitting

Ζητῶν θεραπείαν, ἐπιμέλησαι τῆς συνειδήσεως· καὶ ὅσα 69
seeking healing take-care-of the conscience and as-much-as
λέγει, ποίησον· καὶ εὑρήσεις τὴν ὠφέλειαν.
it-says do and you-will-find the benefit
Τὰ κρυπτὰ ἑκάστου ὁ Θεὸς οἶδε, καὶ ἡ συνείδησις· 70
the hidden(-things) of-each — God knows and the conscience
καὶ διὰ τούτων αὐτῶν λαμβανέτω διόρθωσιν.
and through these themselves let-him-receive correction
Ὁ ἀβουλήτως κοπιῶν, καθολικῶς πτωχεύει. Ὁ δὲ 71
the(-one) unwillingly toiling wholly is-poor the(-one) but
μετ᾽ ἐλπίδος τρέχων, δίπλουτός ἐστιν.
with hope running doubly-rich is
Ἄνθρωπος ὅσα δύναται ἐπιτηδεύει, κατὰ τὸ θέλημα· 72
(a)-man as-much-as he-can practices according-to the will
ὁ δὲ Θεὸς τὰς τούτων ἐκβάσεις ποιεῖ, κατὰ τὸ
the(-one) but God the of-these outcomes makes according-to the
δίκαιον.
just
Ἐὰν θέλῃς ἀκατακρίτως παρὰ ἀνθρώπων ἔπαινον λαβεῖν· 73
if you-wish uncondemned from men praise to-receive
πρῶτον ὑπὲρ ἁμαρτιῶν σου ἀγάπησον ἔλεγχον.
first for sins your love reproof
Ὅσην ἄν τις ὑπὲρ ἀληθείας Χριστοῦ καταδέξηται 74
as-much-as — someone for (the)-truth of-Christ accept
ἐντροπήν, ἑκατονταπλασίως ὑπὸ πλήθους δοξασθήσεται.
shame a-hundredfold by (the)-multitude he-will-be-glorified
Κρεῖσσον δὲ πᾶν ἀγαθὸν ἐργάζεσθαι διὰ τὰ μέλλοντα. 75
better and every good to-work for the(-things) to-come
Ὅταν ἄνθρωπος ἄνθρωπον ὠφελήσῃ ἐν λόγοις ἢ ἐν 76
when (a)-man (a)-man benefit in words or in
πράγμασιν, Θεοῦ εἶναι τὴν χάριν νοείτωσαν ἀμφότεροι.
deeds of-God to-be the grace let-understand both

Ὁ δὲ μὴ συνιὼν τοῦτο, παρὰ τοῦ συνιέντος
the(-one) but not understanding this by the(-one) understanding
ἐξουσιασθήσεται.
will-be-ruled

77 Ὁ ἐπαινῶν τὸν πλησίον κατά τινα ὑπόκρισιν, ὀνειδίσει
the(-one) praising the neighbor by some hypocrisy will-reproach
αὐτὸν ἐν καιρῷ, καὶ αὐτὸς ἐντραπήσεται.
him in time and he will-be-put-to-shame

78 Ὁ ἀγνοῶν ἐνέδραν πολεμίων, σφάζεται εὐκαίρως·
the(-one) not-knowing (the)-ambush of-enemies is-slaughtered conveniently
καὶ ὁ μὴ εἰδὼς τὰς αἰτίας τῶν παθῶν, καταπίπτει
and the(-one) not knowing the causes of-the passions falls
ῥᾳδίως.
easily

79 Ἀπὸ φιληδονίας ἀμέλεια, καὶ ἀπὸ ἀμελείας λήθη
from love-of-pleasure negligence and from negligence forgetfulness
προσγίνεται. Τῶν συμφερόντων γὰρ τὴν γνῶσιν ὁ Θεὸς
comes-upon(-us) of-the profitable(-things) for the knowledge — God
πᾶσι δεδώρηται.
to-all has-given

80 Ἄνθρωπος ὑποτίθεται τῷ πλησίον, καθὰ ἐπίσταται· Θεὸς
(a)-man counsels the neighbor as he-knows God
δὲ ἐνεργεῖ τῷ ἀκούοντι, καθὰ ἐπίστευσεν.
but works in-the(-one) hearing as he-believed

81 Εἶδον ἰδιώτας ἔργῳ ταπεινοφρονήσαντας, καὶ ἐγένοντο
I-saw unlearned(-men) in-deed being-humble and they-became
τῶν σοφῶν σοφώτεροι. Ἕτερος ἰδιώτης ἀκούσας
than-the wise wiser another unlearned(-man) having-heard
ἐκείνου ἐπαιρομένου, τὴν ταπείνωσιν οὐκ ἐμιμήσατο· ἀλλ᾽
of-that(-one) being-exalted the humility not imitated(-it) but
ἐπὶ τῇ ἰδιωτείᾳ κενοδοξῶν, ὑπερηφάνειαν προσελάβετο.
at the unlearnedness being-vainglorious pride took-on

Ὁ σύνεσιν ἐξουθενῶν, καὶ εἰς ἀμαθίαν ἐγκαυχώμενος, 82
the(-one) understanding despising and in ignorance boasting
οὐκ ἔστιν ἰδιώτης μόνον τῷ λόγῳ, ἀλλὰ καὶ τῇ γνώσει.
not is unlearned only in-the speech but also in-the knowledge
Ὥσπερ ἐστὶν ἄλλο σοφία λόγου, καὶ ἄλλο φρόνησις· 83
as is other(-thing) wisdom of-speech and other prudence
οὕτως ἕτερον ἰδιωτεία λόγου, καὶ ἕτερον ἀφροσύνη.
thus another unlearnedness of-speech and another folly
Οὐδὲν βλάψει ἀμαθία λέξεων τὸν εὐλαβέστατον, ὡς οὐδὲ 84
nothing will-harm ignorance of-words the most-devout as not-even
σοφία λόγων τὸν ταπεινόφρονα.
wisdom of-words the humble-minded
Μὴ λέγε· Οὐκ ἐπίσταμαι τὸ δέον, καὶ ἀναίτιός εἰμι μὴ 85
not say not I-know the needful and blameless I-am not
ποιῶν αὐτό. Εἰ γὰρ ἐποίεις καλὰ ὅσα ἐπίστασαι,
doing it if for you-did good(-things) as-many-as you-know
καὶ τὰ λοιπά σοι ἀκολούθως ἀπεκαλύπτετο, οἰκείῳ
also the rest to-you consequently would-have-been-revealed in-(its)-own
τρόπῳ ἓν δι' ἑνὸς κατανοούμενα.
way one through one being-understood
Οὐ συμφέρει σοι πρὸ τῆς ἐργασίας τῶν πρώτων, εἰδέναι 86
not it-profits you before the working of-the first(-things) to-know
τὰ δεύτερα· Ἡ γὰρ γνῶσις φυσιοῖ διὰ τὴν ἀργίαν,
the second(-things) the for knowledge puffs-up because-of the idleness
ἡ δὲ ἀγάπη οἰκοδομεῖ, διὰ τὸ πάντα ὑπομένειν.
the but love builds-up because-of the all(-things) to-endure
Τῆς Γραφῆς τὰ ῥήματα διὰ πράξεων ἀναγίνωσκε· καὶ 87
of-the Scripture the words through deeds read and
μὴ πλατυλόγει, ἐπὶ ψιλοῖς τοῖς νοήμασι εἰκῇ φυσιούμενος.
not talk-at-large on bare the notions idly puffed-up

88 Ὁ ἀφεὶς τὴν πρᾶξιν, καὶ γυμνῇ τῇ γνώσει
the(-one) having-left the deed and on-bare the knowledge
ἐπερειδόμενος, ἀντὶ διστόμου μαχαίρας καλαμίνην ῥάβδον
leaning instead-of (a)-two-edged sword (a)-reed staff
κρατεῖ, ἥτις ἐν καιρῷ πολέμου, κατὰ τὴν Γραφήν,
holds which in time of-war according-to the Scripture
τρήσει τὴν χεῖρα αὐτοῦ, καὶ εἰς αὐτὴν εἰσελεύσεται, τὸν
will-pierce the hand his and into it will-enter the
ἰὸν τῆς φύσεως πρὸ τῶν πολεμίων ἐμβάλλουσα.
venom of-the nature before the enemies casting-in

89 Μέτρον ἔχει καὶ σταθμὸν παρὰ Θεῷ πᾶσα ἔννοια. Ἔστι
measure has and weight with God every thought it-is(-possible)
γὰρ τὸ αὐτὸ ἢ ἐμπαθῶς ἢ μεσοτρόπως λογίσασθαι.
for the same either passionately or moderately to-think

90 Ὁ ποιήσας ἐντολήν, ἐκδεχέσθω τὸν ὑπὲρ αὐτῆς
the(-one) having-done (a)-commandment let-him-await the for it
πειρασμόν· ἡ γὰρ εἰς Χριστὸν ἀγάπη, δι᾽ ἐναντίων
temptation the for to Christ love through opposites
δοκιμάζεται.
is-tested

91 Μὴ καταφρονήσῃς ποτὲ ἐν λογισμῶν ἀμελείᾳ· ἀλάθητος
not despise ever in of-thoughts negligence unescaping
γάρ ἐστιν ὁ Θεὸς ἐπὶ πάσης ἐννοίας.
for is — God over every thought

92 Ὅταν ἴδῃς λογισμὸν ἀνθρωπίνην σοι δόξαν ὑπαγορεύοντα,
when you-see (a)-thought human to-you glory dictating
γίνωσκε σαφῶς, ὅτι αἰσχύνην σοι κατασκευάζει.
know clearly that shame for-you it-prepares

93 Ἐπίσταται ὁ ἐχθρός, τοῦ πνευματικοῦ νόμου τὸ δίκαιον,
knows the enemy of-the spiritual law the just(-requirement)
καὶ ζητεῖ μόνον τὴν νοερὰν συγκατάθεσιν. Οὕτω γὰρ ἂν ἢ
and seeks only the intellectual consent thus for — either

τὸν τῆς μετανοίας ὑπεύθυνον ποιήσῃ τὸν ὑποχείριον,
the(-one) of-the repentance liable he-will-make the(-one) subject
ἢ μὴ μετανοοῦντα, ἀκουσίοις ἐπιφοραῖς ὀδυνήσῃ αὐτόν.
or not repenting with-involuntary visitations will-pain him
Ἔστι δ' ὅτε καὶ πρὸς τὰς ἐπιφορὰς ἀντιμάχεσθαι 94
there-is and when also against the visitations to-fight
παρασκευάσει, ὅπως καὶ ὧδε τὰς ὀδύνας πολυπλασιάσῃ,
he-will-prepare(-him) so-that both here the pains he-may-multiply
καὶ ἐν ἐξόδῳ διὰ τὴν ἀνυπομνησίαν ἀποδείξῃ ἄπιστον.
and in departure because-of the unremembering he-may-show unbelieving
Πρὸς τὰ ἐπερχόμενα πολλοὶ πολλὰ ἀντετάξαντο· 95
against the(-things) coming-on many many(-ways) set-themselves-against
ἀλλ' ἐκτὸς προσευχῆς καὶ μετανοίας οὐδεὶς τὸ δεινὸν
but without prayer and repentance no-one the terrible(-thing)
διέφυγεν.
escaped
Ἓν δι' ἑνὸς τὰ κακὰ λαμβάνει τὴν δύναμιν, ὁμοίως καὶ 96
one through one the evils receive the power likewise also
τὰ ἀγαθὰ δι' ἀλλήλων αὐξάνεται· καὶ τὸν ἑαυτῶν
the good(-things) through one-another increase and the of-themselves
μέτοχον ἐπὶ τὰ πρόσω μείζονα προτρέπονται.
partaker to the(-things) ahead greater urge
Τὰ μικρὰ ἁμαρτήματα ἐξευτελίζει ὁ διάβολος· ἄλλως γὰρ 97
the small sins makes-cheap the devil otherwise for
ἐπὶ μεῖζον κακὸν ἀγαγεῖν οὐ δύναται.
to greater evil to-lead not he-can
Ῥίζα αἰσχρᾶς ἐπιθυμίας, ἀνθρώπινος ἔπαινος· ὥσπερ καὶ 98
(the)-root of-shameful desire (is)-human praise as also
σωφροσύνης, ὁ περὶ κακίας ἔλεγχος, οὐχ ὅταν ἀκούωμεν,
of-temperance the about vice reproof not when we-hear(-it)
ἀλλ' ὅταν αὐτὸν καταδεχώμεθα.
but when it we-accept

99 Οὐδὲν ὠφελήθη ὁ ἀποταξάμενος καὶ ἡδυπαθῶν· ὃ
nothing was-benefited the(-one) having-renounced and living-luxuriously what
γὰρ ἐποίει διὰ τῶν χρημάτων, τοῦτο καὶ μηδὲν ἔχων
for he-did through the money this also nothing having
ἐργάζεται.
he-works

100 Πάλιν δὲ ὁ ἐγκρατὴς ἐὰν κτᾶται χρήματα, ἀδελφός
again and the self-controlled(-man) if he-acquire money (a)-brother
ἐστι τοῦ προτέρου κατὰ διάνοιαν· μητρὸς μὲν τῆς αὐτῆς
is of-the former in thought of-mother indeed of-the same
διὰ τὴν νοερὰν ἡδονήν· πατρὸς δὲ ἑτέρου διὰ τὴν
because-of the intellectual pleasure of-father but another because-of the
τοῦ πάθους ἐναλλαγήν.
of-the passion exchange

XIV · ON THE SPIRITUAL LAW, 101–150

Vainglory, pleasure, and love of money are the three mothers of evil and stepmothers of the virtues, the root of wrath, war, and murder; we are told not to love the world so as to cut off their occasions. Whoever is reproached should await the reward, as the bitter wormwood heals. What a man sows he reaps. Mark distinguishes the voluntary thought from the involuntary prepossession and the imageless assault. Prayer for the neighbor is better than reproving him.

101 Ἔστιν ὁ περικόπτων πάθος διὰ μείζονα ἡδυπάθειαν·
there-is the(-one) cutting-off (a)-passion for greater luxury
καὶ ὑπὸ τῶν ἀγνοούντων αὐτοῦ τὸν σκοπόν, δοξάζεται.
and by the(-ones) not-knowing his the aim is-glorified
Τάχα δὲ καὶ ἑαυτὸν ἀγνοεῖ κοπιῶν ἀνόνητα.
perhaps and also himself he-does-not-know toiling unprofitably

Ἡ αἰτία πάσης κακίας, κενοδοξία καὶ ἡδονή· ὁ δὲ 102
the cause of-every vice (is)-vainglory and pleasure the(-one) but
μὴ μισήσας αὐτά, οὐ μὴ περιάρῃ πάθος.
not having-hated them not — he-will-remove (a)-passion
Ῥίζα πάντων τῶν κακῶν εἴρηται ἡ φιλαργυρία· ἀλλὰ 103
(the)-root of-all the evils has-been-called the love-of-money but
καὶ αὕτη σαφῶς δι' ἐκείνων συνίσταται. Ἐκτυφλοῦται
also this clearly through those(-two) is-constituted is-blinded
δ' ὁ νοῦς διὰ τῶν τριῶν τούτων παθῶν, φιλαργυρίας
and the mind through the three these passions love-of-money
λέγω, κενοδοξίας, καὶ ἡδονῆς.
I-mean vainglory and pleasure
Τρεῖς θυγατέρας λέγω βδέλλης· αὗταί εἰσι, κατὰ 104
three daughters I-say of-(the)-leech these are according-to
τὴν θείαν Γραφήν, ὑπὸ μητρὸς ἀφροσύνης ἀγαπήσει
the divine Scripture by (the)-mother of-folly with-love
ἀγαπώμεναι.
loved
Γνῶσις καὶ πίστις, αἱ τῆς φύσεως ἡμῶν σύντροφοι, δι' 105
knowledge and faith the of-the nature our companions for
οὐδὲν ἕτερον ἢ δι' ἐκείνας ἠμβλύνθησαν.
nothing other than for those(-passions) were-blunted
Θυμὸς καὶ ὀργή, καὶ πόλεμος καὶ φόνοι, καὶ πᾶς ὁ λοιπὸς 106
wrath and anger and war and murders and all the rest
κατάλογος τῶν κακῶν, δι' ἐκείνας ἐν ἀνθρώποις
catalog of-the evils through those(-passions) among men
σφόδρα ἐκραταιώθησαν.
exceedingly were-strengthened

107 Οὕτω μισῆσαι δεῖ φιλαργυρίαν καὶ κενοδοξίαν καὶ
thus to-hate (one)-must love-of-money and vainglory and
ἡδονήν, ὡς μητέρας τῶν κακῶν, καὶ μητρυιὰς τῶν
pleasure as mothers of-the evils and stepmothers of-the
ἀρετῶν.
virtues

108 Διὰ ταῦτα μὴ ἀγαπᾷν τὸν κόσμον, μηδὲ τὰ ἐν
because-of these(-things) not to-love the world nor the(-things) in
τῷ κόσμῳ προσετάχθημεν· τοῦτο δὲ εἴρηται, οὐχ ἵνα τὰ
the world we-were-commanded this and was-said not that the
κτίσματα τοῦ Θεοῦ ἀκρίτως μισήσωμεν, ἀλλ' ὅπως τῶν
creatures — of-God indiscriminately we-should-hate but that of-the
τριῶν ἐκείνων παθῶν τὰς ἀφορμὰς περικόψωμεν.
three those passions the occasions we-may-cut-off

109 Οὐδείς, φησί, στρατευόμενος τῷ Θεῷ, ἐμπλέκεται ταῖς
no-one it-says serving-as-soldier — for-God entangles(-himself) in-the
τοῦ βίου πραγματείαις· ὁ γὰρ μετὰ τῆς ἐμπλοκῆς τὰ
of-the life affairs the(-one) for with the entanglement the
πάθη νικῆσαι θέλων, ὅμοιός ἐστι τῷ μετὰ ἀχύρων
passions to-conquer wishing like is to-the(-one) with chaff
σβεννύοντι ἐμπυρισμόν.
quenching (a)-conflagration

110 Ὁ διὰ χρήματα, ἢ δόξαν, ἢ ἡδονὴν ὀργιζόμενος
the(-one) because-of money or glory or pleasure being-angry
τῷ πλησίον, οὔπω ἔγνωκεν ὅτι ἐν δικαιοσύνῃ διακονεῖ
with-the neighbor not-yet has-known that in righteousness administers
ὁ Θεὸς τὰ πράγματα.
— God the affairs

111 Ὅταν ἀκούσῃς τοῦ Κυρίου λέγοντος, ὅτι Εἴ τις οὐκ
when you-hear the Lord saying that if anyone not
ἀποτάσσεται πᾶσι τοῖς ὑπάρχουσιν αὐτῷ, οὐκ ἔστι
renounces all the(-things) belonging to-him not he-is

μου ἄξιος, μὴ μόνον περὶ χρήματα νόει τὸ εἰρημένον,
of-me worthy not only about money understand the saying
ἀλλὰ καὶ περὶ πάντων τῶν τῆς κακίας πραγμάτων.
but also about all the of-the vice things
Ὁ μὴ γινώσκων τὴν ἀλήθειαν, οὔτε ἀληθῶς πιστεύειν 112
the(-one) not knowing the truth nor truly to-believe
δύναται. Ἡ γὰρ γνῶσις κατὰ φύσιν προηγεῖται τῆς
can the for knowledge by nature precedes the
πίστεως.
faith
Ὥσπερ ἑκάστῳ τῶν ὁρωμένων τὸ προσφυὲς ἀπένειμεν 113
as to-each of-the(-things) seen the fitting(-thing) assigned
ὁ Θεός· οὕτω καὶ τοῖς ἀνθρωπίνοις λογισμοῖς, κἂν
— God thus also to-the human thoughts whether
θέλωμεν, κἂν μή.
we-wish(-it) or not
Εἴ τις προφανῶς ἁμαρτάνων καὶ μὴ μετανοῶν, οὐδὲν 114
if anyone openly sinning and not repenting nothing
ἔπαθεν ἕως ἐξόδου, τούτου νόμιζε ἀνίλεων εἶναι τὴν
suffered until (his)-departure of-this(-man) think merciless to-be the
κρίσιν ἐκεῖ.
judgment there
Ὁ ἐμφρόνως προσευχόμενος, ὑπομένει τὰ 115
the(-one) wisely praying endures the(-things)
ἐπερχόμενα· ὁ δὲ μνησικακῶν, οὔπω καθαρῶς
coming-on the(-one) but remembering-wrongs not-yet purely
προσηύξατο.
has-prayed
Ζημιωθείς, ἢ ὀνειδισθείς, ἢ διωχθεὶς παρά τινος, μὴ 116
having-been-harmed or reproached or persecuted by someone not
λογίζου τὸ παρόν, ἀλλὰ τὸ μέλλον ἐκδέχου· εὑρήσεις ὅτι
reckon the present but the future await you-will-find that

πολλῶν σοι ἀγαθῶν γέγονε πρόξενος, οὐ μόνον ἐν
of-many to-you good(-things) he-has-become (the)-agent not only in
τῷ παρόντι, ἀλλὰ καὶ ἐν τῷ μέλλοντι αἰῶνι.
the present but also in the coming age

117 Ὥσπερ τοὺς κακοσίτους ἀψίνθιον ὠφελεῖ τὸ πικρόν· οὕτω
as the poor-eaters wormwood benefits the bitter thus
τοῖς κακοτρόποις κακὰ πάσχειν συμφέρει. Τοὺς μὲν γὰρ
the ill-mannered evils to-suffer profits the indeed for
εὐεκτεῖν, τοὺς δὲ μετανοεῖν παρασκευάζει τὰ φάρμακα.
to-be-healthy the but to-repent prepares the medicines

118 Εἰ μὴ θέλεις κακοπαθεῖν, μηδὲ κακοποιεῖν θέλε· διότι
if not you-wish to-suffer-ill nor to-do-ill wish because
τοῦτο ἐκείνῳ ἀπαραβάτως ἀκολουθεῖ. Ὃ γὰρ σπείρει
this that inviolably follows what for sows
ἕκαστος, τοῦτο καὶ θερίσει.
each(-one) this also he-will-reap

119 Ἑκουσίως τὰ φαῦλα σπείροντες, καὶ ἀκουσίως θερίζοντες,
willingly the bad(-things) sowing and unwillingly reaping
τὴν δικαιοσύνην τοῦ Θεοῦ θαυμάζειν ὀφείλομεν. Ἐπειδὴ δὲ
the righteousness — of-God to-marvel-at we-ought since and
καὶ θέρους καὶ ἀνὰ μέσον σπόρου καιρός τις διώρισται,
both of-harvest and between in-the-middle of-sowing time some is-set-apart
τούτου χάριν ἀπιστοῦμεν περὶ τὴν ἀνταπόδοσιν.
of-this for-the-sake we-disbelieve about the requital

120 Ἁμαρτήσας, μὴ αἰτιῶ τὴν πρᾶξιν, ἀλλὰ τὴν ἔννοιαν. Εἰ μὴ
having-sinned not blame the deed but the thought if not
γὰρ ὁ νοῦς προέδραμεν, οὐκ ἂν τὸ σῶμα ἐπηκολούθησε.
for the mind had-run-ahead not — the body would-have-followed

121 Τῶν προφανῶς ἀδικούντων πονηρότερός ἐστιν ὁ
than-the(-ones) openly doing-wrong more-wicked is the
λαθροκακοῦργος· διόπερ ἐκεῖνος καὶ πονηροτέρως κολάζεται.
secret-evildoer wherefore that(-one) also more-wickedly is-punished

Ὁ δόλους συμπλέκων, καὶ κεκρυμμένως κακοποιῶν, 122
the(-one) deceits weaving and secretly doing-evil
ὄφις ἐστί, κατὰ τὴν Γραφήν, ὁ καθήμενος ἐν
(a)-serpent is according-to the Scripture the(-one) sitting in
ὁδῷ, καὶ δάκνων πτέρναν ἵππου.
(the)-way and biting (the)-heel of-(a)-horse
Ὁ ἐν τῷ αὐτῷ εἷς τινα μὲν ἐπαινῶν, εἷς τινα 123
the(-one) at the same(-time) to someone indeed praising to someone
δὲ ψέγων τὸν πέλας, οὗτος κενοδοξίᾳ καὶ φθόνῳ
but blaming the neighbor this(-man) by-vainglory and envy
κεκράτηται· καὶ διὰ μὲν τῶν ἐπαίνων, κρύπτειν πειρᾶται
has-been-mastered and through indeed the praises to-hide he-tries
τὸν φθόνον, διὰ δὲ τῶν ψόγων, ἑαυτὸν εὐδοκιμώτερον
the envy through but the blames himself more-reputable
ἐκείνου συνίστησιν.
than-that(-one) he-commends
Ὥσπερ οὐκ ἔστιν ἐπὶ τὸ αὐτὸ καὶ πρόβατα βόσκειν 124
as not it-is(-possible) at the same both sheep to-feed
καὶ λύκους· οὕτως ἀδύνατον ἐλέους τυχεῖν τὸν
and wolves thus impossible(-it-is) mercy to-obtain for-the(-one)
δολοποιοῦντα τὸν πλησίον.
deceiving the neighbor
Ὁ τῇ ἐπιταγῇ ἐπιμίσγων λάθρα τὸ ἴδιον θέλημα, 125
the(-one) with-the command mixing secretly the own will
μοιχός ἐστι, καθὼς ἐν τῇ Σοφίᾳ δεδήλωται, καὶ δι᾽
(an)-adulterer is as in the Wisdom it-is-shown and through
λόγους τῶν πολεμίων, καὶ τὸ μέγα κέρδος εὐχῆς τε
words of-the enemies and the great gain of-prayer both

καὶ νήψεως· Πλὴν τοῖς ὀφθαλμοῖς σου κατανοήσεις, καὶ
and watchfulness only with-the eyes your you-will-perceive and
ἀνταπόδοσιν ἁμαρτωλῶν νοητῶν νοητῶς καὶ αὐτὸς σὺ
(the)-requital of-sinners intelligible intellectually and yourself you
ὄψει, καὶ κατανοήσεις, φησὶ Δαβὶδ ὁ θεῖος μελῳδός.
will-see and will-perceive says David the divine singer
Μνημονεύσωμεν, εἰ δυνατόν, τοῦ θανάτου ἀδιαλείπτως· 153
let-us-remember if (it-be)-possible the death unceasingly
δι᾽ ἧς μνήμης φροντίδων ἀπόθεσις ματαιοτήτων τε
through which remembrance of-cares (the)-putting-off of-vanities and
ἐν ἡμῖν γεννᾶται, φυλακή τε νοὸς καὶ διηνεκὴς δέησις·
in us is-born guard and of-mind and continual supplication
ἀπροσπάθεια δὲ τοῦ σώματος, βδέλυξις ἁμαρτίας, καὶ
detachment and from-the body loathing of-sin and
σχεδόν, εἰ δεῖ τἀληθὲς εἰπεῖν, πᾶσα ἀρετὴ ἄγουσα
almost if (one)-must the-truth to-say every virtue leading
ἐκ ταύτης ἐκβλύζεται· διὸ ὡς τῇ ἰδίᾳ πνοῇ, εἰ
from this gushes-out wherefore as with-the own breath if
δυνατόν, τῷ πράγματι χρησώμεθα.
(it-be)-possible the thing let-us-use
Καρδία ξενωθεῖσα φαντασιῶν, τελέως νοήματα τέξεται 154
(a)-heart estranged from-fantasies perfectly notions will-bear
μέσον αὐτῆς σκιρτῶντα θεῖά τε καὶ μυστηριώδη,
(in)-the-midst its leaping divine both and mysterious
ὃν τρόπον σκιρτῶσιν ἰχθύες, καὶ ἐγκυβιστῶσι δελφῖνες
in-which manner leap fish and tumble dolphins
γαληνιώσης θαλάσσης· καὶ ῥιπίζεται μὲν θάλασσα ὑπὸ
being-calm (the)-sea and is-fanned indeed (the)-sea by
λεπτῆς αὔρας. Ἄβυσσος δὲ καρδίας ὑπὸ Πνεύματος
(a)-light breeze (the)-abyss and of-(the)-heart by (the)-Spirit
ἁγίου. Ὅτι δέ, φησίν, ἐστὲ υἱοί, ἐξαπέστειλεν ὁ Θεὸς τὸ
holy because and he-says you-are sons sent-forth — God the

Πνεῦμα τοῦ Υἱοῦ αὐτοῦ, ἐν ταῖς καρδίαις ὑμῶν κράζον,
Spirit of-the Son his into the hearts your crying
Ἀββά, ὁ Πατήρ.
Abba the Father

155 Ἀπορήσει καὶ διχονοήσει πᾶς μοναχὸς πνευματικοῦ
will-be-at-a-loss and will-be-in-two-minds every monk of-spiritual
ἔργου, πρὸ νήψεως νοῦ λαβέσθαι, ἢ οὐκ εἰδὼς μὲν
work before of-watchfulness of-mind to-lay-hold or not knowing indeed
τὸ ταύτης κάλλος, ἢ εἰδὼς μέν, δι᾽ ἀμελείας δὲ μὴ
the its beauty or knowing(-it) indeed through negligence but not
δυνάμενος, τῆς δὲ ἀπορίας ἀναμφιβόλως λυθήσεται, νοὸς
able of-the and perplexity indubitably will-be-released of-mind
τήρησιν ἐπιβάς, ἥ ἐστι καὶ λέγεται πρακτικὴ
(the)-keeping having-entered-upon which is and is-called practical
φιλοσοφία νοός, ὡς τὴν ὁδὸν εὑρηκὼς ἧ εἶπεν, Ἐγώ
philosophy of-mind as the way having-found of-which he-said I
εἰμι ἡ ὁδός, καὶ ἡ ἀνάστασις, καὶ ἡ ζωή.
am the way and the resurrection and the life

156 Πάλιν αὖθις ἀπορήσει ὁρῶν ἄβυσσον λογισμῶν, καὶ
again once-more he-will-be-at-a-loss seeing (an)-abyss of-thoughts and
πλῆθος νηπίων Βαβυλωνίων, ἀλλὰ καὶ ταύτην λύει τὴν
(a)-multitude of-infants Babylonian but also this solves the
ἀπορίαν Χριστός, εἴγε τῇ βάσει τῆς διανοίας διηνεκῶς
perplexity Christ if-indeed on-the foundation of-the mind continually
ἐπ᾽ αὐτὸν ἱστάμεθα. Τὰ δὲ πάντα Βαβυλώνια νήπια ἐν
on him we-stand the and all Babylonian infants on
τῇ πέτρᾳ ταύτῃ ἐδαφιοῦντες ἐναποκρούομεν πληροῦντες,
the rock this dashing-to-the-ground we-knock-against(-it) fulfilling
κατὰ τὸ λόγιον, τὴν ἐπιθυμίαν ἡμῶν ἐξ αὐτῶν. Ὃς
according-to the oracle the desire our from them who

γάρ, φησί, φυλάσσει ἐντολήν, οὐ γνώσεται ῥῆμα
for he-says keeps (the)-commandment not will-know (a)-word
πονηρόν· χωρὶς γὰρ ἐμοῦ, ἔφη, οὐ δύνασθε ποιεῖν οὐδέν.
evil without for me he-said not you-can to-do nothing
Οὗτος ἀληθινὸς τῷ ὄντι μοναχός, ὁ νῆψιν 157
this(-man) (is)-true in-the reality (a)-monk the(-one) watchfulness
κατορθῶν· καὶ οὗτος ἀληθινὸς νηφάλιος, ὁ ἐν καρδίᾳ
achieving and this(-man) (is)-true sober the(-one) in heart
ὢν μοναχός.
being (a)-monk
Συμπαρεκτείνεται ἀνθρώποις ὁ βίος ἐν ἐνιαυτοῖς, ἐν 158
is-extended-along with-men the life in years in
μησίν, ἐν ἑβδομάσιν, ἔν τε ἡμέραις, καὶ ὥραις, καὶ νυξί,
months in weeks in both days and hours and nights
καὶ στιγμαῖς ἀνακυκλούμενος· τούτοις ἄρα ἐχρῆν καὶ
and moments revolving with-these then (it)-was-needful also
ἡμᾶς συμπαρεκτείνειν τὰς ἐναρέτους ἐργασίας, φημὶ δὴ
us to-extend-along the virtuous workings I-mean indeed
τὴν νῆψίν τε καὶ εὐχήν, καὶ τὴν τῆς καρδίας ἡδύτητα
the watchfulness both and prayer and the of-the heart sweetness
ἐπὶ ἐμμελεῖ ἡσυχίᾳ μέχρις ἐξόδου ἡμῶν.
in harmonious stillness until (the)-departure our
Ἐπελεύσεται γὰρ ὥρα ἐφ' ἡμᾶς φοβερὰ ἡ τοῦ 159
will-come for (the)-hour upon us fearful the(-hour) of-the
θανάτου, ἐλεύσεται καὶ διαφυγεῖν οὐ δυνατόν. Καὶ εἴθε
death it-will-come and to-escape not (it-is)-possible and would-that
ὁ τοῦ κόσμου καὶ τοῦ ἀέρος ἄρχων τότε ἐρχόμενος,
the of-the world and of-the air ruler then coming
εὑρήσειε τὰ ἡμῶν ἀνομήματα ὀλίγα τε καὶ εὐτελέα, ἵνα
may-find the our lawless-deeds few both and paltry that
μὴ ἐλέγξῃ ἀληθεύων, καὶ κλαύσωμεν ἀνωφελῆ. Ἐκεῖνος
not he-convict(-us) speaking-truly and we-weep unprofitably that

γὰρ ὁ δοῦλος ὁ γνοὺς τὸ θέλημα τοῦ κυρίου
for the servant the(-one) having-known the will of-the lord
αὐτοῦ, καὶ μὴ ποιήσας πρὸς τὸ θέλημα αὐτοῦ, ὡς
his and not having-done according-to the will his as
δοῦλος δαρήσεται πολλά, φησίν.
(a)-servant will-be-beaten much he-says
160 Οὐαὶ τοῖς ἀπολωλεκόσι τὴν καρδίαν, φησί. Καὶ τί
woe to-the(-ones) having-lost the heart he-says and what
ποιήσωσιν ὅταν ἐπισκέπτηται Κύριος; Διὸ σπουδαστέον
will-they-do when visits (the)-Lord wherefore (one)-must-be-eager
ἡμῖν, ἀδελφοί.
for-us brothers
161 Τοῖς ἁπλοῖς καὶ ἀπαθεστέροις δῆθεν λογισμοῖς οἱ ἐμπαθεῖς
the simple and more-dispassionate supposedly thoughts the passionate(-ones)
παρέπονται, καθὼς εὕρομεν πολυχρονίῳ πείρᾳ τε καὶ
follow as we-have-found by-long experience both and
παρατηρήσει, ὥσπερ ὄφις περιστερᾷ εἰσερχομένῃ ἐν
observation as (a)-serpent (the)-dove entering into
ἰδίᾳ νοσσιᾷ· ὡς οἶμαι, οἱ πρῶτοι λογισμοὶ εἴσοδος
(its)-own nest as I-think the first thoughts (an)-entrance
τῶν δευτέρων γινόμενοι, καὶ τῶν ἐμπαθῶν οἱ ἀπαθεῖς.
of-the second becoming and of-the passionate(-ones) the dispassionate
162 Τῷ ὄντι γὰρ διχῇ τέμνεσθαι δεῖ ἄνθρωπον, τῇ
in-the reality for in-two to-be-cut (one)-must (a)-man by-the
προαιρέσει καὶ ἐπινοίᾳ σοφωτάτῃ σχίζεσθαι χρή, ὡς
choice and by-design most-wise to-be-split (it)-is-needful as
ἔφην. Καὶ ἐχθρὸς αὐτοῖς, καὶ αὐτοῦ εἶναι ἀκατάλλακτος
I-said and (an)-enemy to-them and to-himself to-be irreconcilable
προσήκει ἀληθῶς. Οἵαν οὖν τις διάθεσιν διόλου ἔχων
it-befits truly what-kind then one disposition throughout having
ἀνθρώπῳ τινὶ δεινῶς ἄγαν καὶ πολλάκις ἐκθλίψαντί τε καὶ
toward-(a)-man some terribly very and often having-afflicted both and

ἀδικήσαντι, οὕτως, ἢ καὶ πολὺ πλεῖον, εἴγε βουλόμεθα
having-wronged(-him) thus or even much more if-indeed we-wish
κατορθοῦσθαι τὴν μεγάλην τε καὶ πρώτην ἐντολήν, φημὶ
to-achieve the great both and first commandment I-mean
δὴ τὴν Χριστοῦ πολιτείαν, τὴν μακαρίαν ταπείνωσιν,
indeed the of-Christ way-of-life the blessed humility
τὴν ἔνσαρκον Θεοῦ βιοτήν; ὅθεν φησὶν ὁ Ἀπόστολος, Τίς
the incarnate of-God life whence says the Apostle who
με ῥύσεται ἐκ τοῦ σώματος τοῦ θανάτου τούτου; Τῷ
me will-rescue from the body of-the death this to-the
γὰρ νόμῳ τοῦ Θεοῦ οὐχ ὑποτάσσεται. Δεικνὺς δὲ ὅτι τὸ
for law — of-God not it-is-subject showing and that the
ὑποτάξαι τὸ σῶμα πρὸς τὸ τοῦ Θεοῦ θέλημα, τῶν
to-subject the body to the — of-God will of-the(-things)
ἐφ' ἡμῖν ἐστιν, ἔφη, Εἰ γὰρ ἑαυτοὺς ἐκρίνομεν, οὐκ
in our(-power) is he-said if for ourselves we-judged not
ἂν ἐκρινόμεθα· κρινόμενοi δέ, ὑπὸ Κυρίου παιδευόμεθα.
— we-would-be-judged being-judged but by (the)-Lord we-are-disciplined
Ἀρχὴ μὲν καρποφορίας, ἄνθος· ἀρχὴ δὲ 163
(the)-beginning indeed of-fruit-bearing (is)-(the)-flower (the)-beginning but
τηρήσεως νοῦ, βρωμάτων ἐγκράτεια καὶ πομάτων,
of-(the)-keeping of-(the)-mind of-foods self-control and of-drinks
καὶ παντοίων λογισμῶν ἄρνησις καὶ ἀποχή, καὶ ἡσυχία
and of-all-kinds thoughts (the)-denial and abstinence and stillness
καρδίας.
of-heart
Ἐν Χριστῷ Ἰησοῦ δυναμουμένοις, καὶ νήψει ἀσφαλείας 164
in Christ Jesus to-(the)-empowered and with-watchfulness of-safety
τρέφειν ἀρξαμένοις, ὡς λαμπὰς ἡμῖν καταφαίνεται, ἐν
to-nourish having-begun as (a)-torch to-us it-appears in
νοῒ πρῶτον, παρ' ἡμῶν οἷα κρατουμένη ἐν χειρὶ
(the)-mind first by us as-if held in (the)-hand

νοῦ, καὶ ὁδηγοῦσα ἡμῖν τρίβους διανοίας· ἔπειτα ὡς
of-(the)-mind and guiding for-us (the)-paths of-(the)-mind then as
σελήνη παμφαὴς ἐν στερεώματι καρδίας περιπολοῦσα·
(the)-moon all-shining in (the)-firmament of-(the)-heart going-round
μετέπειτα δὲ φαίνεται ἡμῖν ὡς ἥλιος Ἰησοῦς δικαιοσύνην
afterward and appears to-us as (the)-sun Jesus righteousness
ἡλιοβολῶν, δηλονότι δεικνὺς ἑαυτὸν ὡς ἐκεῖνος, καὶ τὰ
sun-casting clearly showing himself as that(-one) and the
ἑαυτοῦ ὁλοφαῆ φῶτα τὰ τῶν θεωρημάτων.
his-own all-bright lights the(-lights) of-the contemplations
165 Ταῦτα μυστικῶς ἀποκαλύπτει νῷ ἑπομένῳ τῇ
these(-things) mystically he-reveals to-(the)-mind following the
ἐντολῇ αὐτοῦ τῇ φασκούσῃ, Καὶ περιτεμεῖσθε,
commandment his the(-one) saying and you-shall-circumcise
φησί, τὴν σκληροκαρδίαν ὑμῶν. Καὶ ὡς εἴρηται, ἐννοίας
he-says the hard-heartedness your and as has-been-said thoughts
ἐξαισίας ἐκδιδάσκει ἀνθρώπου νῆψις ἡ σπουδαία· τὸ
extraordinary teaches of-man watchfulness the earnest the
γὰρ Θεῖον ἀπροσωπόληπτον, ὅθεν φησὶν ὁ Κύριος,
for Divine (is)-impartial whence says the Lord
Ἀκούετέ μου καὶ συνίετε. Ὃς γὰρ ἂν ἔχοι, δοθήσεται
hear me and understand who for — has it-will-be-given
αὐτῷ καὶ περισσευθήσεται· ὃς δὲ μὴ ἔχει, καὶ ὃ δοκεῖ
to-him and he-will-abound who but not has even what he-seems
ἔχειν, ἀρθήσεται ἀπ᾽ αὐτοῦ. Καί, Τοῖς ἀγαπῶσι τὸν
to-have will-be-taken from him and to-the(-ones) loving —
Θεόν, πάντα συνεργεῖ εἰς τὸ ἀγαθόν. Πολλῷ γοῦν μᾶλλον
God all(-things) work-together for the good much indeed more
αὐτῷ αἱ ἀρεταὶ συνεργήσουσιν.
to-him the virtues will-work-together

Οὐ περιπατήσει πλοῖον πολλὰ μίλια, ὑδάτων χωρίς, καὶ 166
not will-walk (a)-ship many miles of-waters without and
νοῦ τήρησις οὐδ' ὅλως προβήσεται χωρὶς νήψεως σὺν
of-mind keeping not at-all will-advance without watchfulness with
ταπεινώσει καὶ εὐχῇ Ἰησοῦ Χριστοῦ δι' ὅλης.
humility and prayer of-Jesus Christ through all(-of-it)
Οἴκου θεμέλιος, λίθοι· ταύτης δὲ τῆς ἀρετῆς, καὶ 167
of-(a)-house (the)-foundation (is)-stones of-this but the virtue both
θεμέλιοι, καὶ ὄροφοι, τὸ προσκυνητὸν καὶ ἅγιον ὄνομα
foundations and roofs (is)-the adorable and holy name
τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. Καὶ εὐχερῶς μὲν
of-the Lord our Jesus Christ and easily indeed
ναυαγήσει κυβερνήτης ἄφρων ἐν καιρῷ κλύδωνος, τοὺς
will-be-shipwrecked (a)-helmsman foolish in time of-surge the
μὲν ναύτας ἐκδιώξας, τὰς δὲ κώπας καὶ τὰ ἱστία ἐν
indeed sailors having-chased-away the and oars and the sails into
τῷ πελάγει ῥίψας, αὐτὸς δὲ καθεύδων· εὐχερέστερον δὲ
the sea having-thrown he but sleeping more-easily and
ψυχὴ καταποντισθήσεται ἐκ δαιμόνων νήψεως ἀμελοῦσα,
(the)-soul will-be-drowned by demons watchfulness neglecting
καὶ τοῦ ἐπικαλεῖσθαι ἐν ταῖς προσβολαῖς ἀρχομέναις
and of-the to-call-upon at the assaults beginning
Ἰησοῦ Χριστοῦ ὄνομα.
of-Jesus Christ (the)-name
Ὃ οἴδαμεν, γράφοντες λέγομεν· καὶ ὃ ἑωράκαμεν, 168
what we-know writing we-say and what we-have-seen
τὴν ὁδὸν διαβαίνοντες, μαρτυροῦμεν τοῖς θέλουσιν, εἴ
the road crossing we-testify to-the(-ones) wishing if
γε λήψεσθαι τὰ εἰρημένα βουληθήσεσθε. Ὅτι αὐτὸς
indeed to-receive the(-things) said you-will-wish because he
εἴρηκεν, Ἐὰν μή τις μείνῃ ἐν ἐμοί, ἐκβληθήσεται ἔξω, ὡς
has-said unless — anyone abide in me he-will-be-cast out like

τὸ κλῆμα, καὶ συνάγουσιν αὐτό, καὶ εἰς τὸ πῦρ βάλλουσι,
the branch and they-gather it and into the fire throw
καὶ καίεται. Ὁ δὲ μένων ἐν ἐμοί, κἀγὼ ἐν αὐτῷ. Ὡς γὰρ
and it-is-burned the(-one) but abiding in me and-I in him as for
λάμψαι ἥλιον φωτὸς ἄτερ οὐ δυνατόν, οὕτως ἀδύνατον
to-shine (the)-sun light without not (it-is)-possible thus (it-is)-impossible
καθαρθῆναι καρδίαν ῥύπου λογισμῶν ἀπωλείας, ἄνευ τῆς
to-be-cleansed (the)-heart of-(the)-filth of-thoughts of-destruction without the
ἐπικλήσεως Χριστοῦ, ᾗ ὡς τῇ ἰδίᾳ πνοῇ χρησώμεθα·
invocation of-Christ which as the own breath let-us-use
τὸ μὲν γάρ, φῶς· οἱ δέ, σκότος. Καὶ ὁ
the(-one) indeed for (is)-light the(-others) but darkness and the(-one)
μέν, Θεὸς καὶ Δεσπότης· οἱ δέ, δοῦλοι δαιμόνων.
indeed God and Master the(-others) but slaves of-demons
169 Φωτοτόκος, καὶ ἀστραπητόκος, καὶ φωτοβόλος, καὶ
light-bearing and lightning-birthing and light-casting and
πυρφόρος ἡ τοῦ νοῦ φυλακὴ προσφυῶς καὶ φερωνύμως
fire-bearing the of-the mind guard fittingly and aptly-named
καλείσθω· ὑπερέχει γάρ, τἀληθῆ φάναι, ἀπείρων σωματικῶν
let-it-be-called it-surpasses for the-truth to-say countless bodily
καὶ πολλῶν ἀρετῶν. Τούτου οὖν ἕνεκα τοῖς τιμίοις ὀνόμασι
and many virtues of-this then for-the-sake by-the precious names
καλεῖν χρὴ τὴν ἀρετὴν ταύτην, διὰ τὰ ἐξ
to-call (it)-is-needful the virtue this because-of the(-things) from
αὐτῆς τικτόμενα ἀγλαοφαῆ φῶτα· οἷς οἱ ἐρασθέντες
it born splendid lights by-which the(-ones) having-loved(-it)
ἐξ ἁμαρτωλῶν καὶ ἀχρείων, καὶ βεβήλων, καὶ ἀγνώστων,
from sinners and useless and profane and ignorant
ἀσυνέτων τε καὶ ἀδίκων, δίκαιοι, εὔχρηστοι, καθαροί, ἅγιοι,
senseless both and unjust just useful pure holy
καὶ συνετοὶ διὰ Ἰησοῦ Χριστοῦ γενέσθαι δύνανται· καὶ
and intelligent through Jesus Christ to-become can and

οὐ μόνον, ἀλλὰ καὶ μυστικὰ θεωρεῖν, καὶ θεωρητικοὶ
not only but also mystical(-things) to-contemplate and contemplatives
γενόμενοι τῷ ἀκραιφνεστάτῳ καὶ ἀπείρῳ φωτὶ νῦν
having-become in-the most-unmixed and infinite light now
διανήχεσθαι συμβήσεται, θήγειν τε αὐτῷ ἀῤῥήτοις θήξεσι,
to-swim-through it-will-happen to-sharpen and by-it with-ineffable sharpenings
καὶ σὺν αὐτῷ κατοικοῦσί τε καὶ πολιτεύονται, ἐπεὶ ἐγεύσαντο
and with him they-dwell both and live since they-tasted
ὅτι Χριστὸς ὁ Κύριος, ὡς πληροῦσθαι σαφῶς ἐν τοῖς
that Christ (is)-the Lord so-that to-be-fulfilled clearly in the
τοιούτοις πρωταγγέλοις τὸ τοῦ θείου Δαβίδ, Πλὴν
such first-angels the(-saying) of-the divine David yet
δίκαιοι ἐξομολογήσονται τῷ ὀνόματί σου, καὶ κατοικήσουσιν
(the)-just shall-confess to-the name your and shall-dwell
εὐθεῖς σὺν τῷ προσώπῳ σου· ὄντως γὰρ δή, ὄντως
(the)-upright with the face your truly for indeed truly
οὗτοι μόνοι ἀτρεκῶς ἐπικαλοῦνται καὶ ἐξομολογοῦνται
these alone genuinely call-upon and confess
Θεῷ, ᾧ καὶ φιλοῦσιν ὁμιλεῖν ἀγαπῶντες αὐτόν.
to-God with-whom also they-love to-converse loving him
Οὐαὶ τὸν ἔσω ἀπὸ τῶν ἔξω· σφόδρα γὰρ 170
woe (to)-the inner(-man) from the outer(-things) exceedingly for
λυπηθήσεται ὁ ἔνδον ἄνθρωπος ἀπὸ τῶν ἔξω αἰσθήσεων.
will-be-grieved the inner man by the outer senses
Καὶ λυπηθεὶς οὗτος μάστιξι χρήσεται κατὰ τῶν ἔξω
and grieved this(-man) whips will-use against the outer
αἰσθήσεων. Ὁ πράξας τὸ ἐν τῷ γράμματι, ἤδη
senses the(-one) having-done the(-thing) in the letter already
ἐπέγνω τὸ ἐν τῷ θεωρήματι.
recognized the(-thing) in the contemplation

171 Ἐὰν ὁ ἔσω ἡμῶν ἄνθρωπος κατὰ τοὺς Πατέρας νήφει,
if the inner our man according-to the Fathers is-watchful
δυνατός ἐστι φυλάξαι καὶ τὸν ἔξω, πλὴν ὅτι ἡμεῖς τε
able he-is to-guard also the outer(-man) yet that we both
καὶ οἱ κακεργάται δαίμονες κοινῶς ἄμφω διαπραττόμεθα
and the evil-working demons in-common both accomplish
τὰς ἁμαρτίας. Καὶ οἱ μὲν ἐν λογισμοῖς μόνον, ἤτοι
the sins and the(-ones) indeed in thoughts only or
ἐν φαντασιώδεσι ζωγραφίαις διασχηματίζουσιν ἐν νῷ,
in fantastic paintings shape in (the)-mind
ὡς βούλονται, τὴν ἁμαρτίαν· ἡμεῖς δὲ καὶ διὰ λογισμῶν
as they-wish the sin we but both through thoughts
ἔνδοθεν καὶ δι' ἔργων ἔξωθεν· παχύτητος γὰρ σωμάτων
within and through deeds without of-grossness for of-bodies
ἀποροῦντες οἱ δαίμονες, διὰ λογισμῶν μόνον καὶ δολιότητα
lacking the demons through thoughts only also deceit
καὶ ἀπάτην, καὶ ὡς αὐτοῖς προξενοῦσι καὶ ἡμῖν τὴν
and fraud and as for-themselves they-procure also for-us the
κόλασιν. Εἰ γὰρ παχύτητος σωμάτων μὴ ἐστερίσκοντο οἱ
punishment if for of-grossness of-bodies not were-deprived the
ἀλιτήριοι, οὐδ' ἂν καὶ δι' ἔργων ἁμαρτάνειν ἐπαύοντο,
wretches not-even — also through deeds to-sin would-they-cease
ἑτοίμην εἰς τὸ ἀσεβεῖν τὴν προαίρεσιν ἀεὶ διασώζοντες.
ready for the to-be-impious the choice always preserving

172 Εὐχὴ δὲ μονολόγιστος κτείνει τε καὶ ἐκτεφροῖ τὰς
prayer and single-thoughted kills both and reduces-to-ashes the
αὐτῶν ἀπάτας, δι' ἡμῶν παρακαλούμενος Ἰησοῦς ὁ
their deceits through us being-called-upon Jesus —
Θεὸς καὶ Θεοῦ Υἱός, συνεχῶς δὲ καὶ ἀόκνως, μηδ' ὅλως
God and of-God Son continually but and unhesitatingly not at-all
παραχωρῶν τούτοις, οὔτε τὴν ἀρχὴν τῆς εἰσβολῆς, ἣν
allowing them neither the beginning of-the incursion which

δὴ καὶ προσβολὴν καλοῦσιν, ὑποδεῖξαι τῷ νῷ ἐν
indeed also assault they-call to-show to-the mind in
κατόπτρῳ τῆς διανοίας, οὐ μορφήν, οὔτε μὴν λόγους
(the)-mirror of-the mind not (a)-form nor indeed words
τινὰς λαλῆσαι τῇ καρδίᾳ. Δαιμονιώδης δὲ μορφὴ μὴ
any to-speak to-the heart (a)-demonic and form not
εἰσδύνουσα ἐν καρδίᾳ, καὶ λογισμῶν, ὡς ἔφημεν, κενὴ
sinking into (the)-heart also of-thoughts as we-said empty
ἔσται, ὅτι τῇ ψυχῇ διὰ λογισμῶν ὁμιλεῖν τε καὶ
will-be because with-the soul through thoughts to-converse both and
ἐκδιδάσκειν τὴν κακίαν ἔθος αὐτῇ λεληθότως.
to-teach the vice (is)-(the)-custom for-it secretly
Ἐξ εὐχῆς οὖν συνεχοῦς καθαρεύει ὁ ἀὴρ τῆς διανοίας ἐκ 173
from prayer then continual is-cleansed the air of-the mind from
νεφῶν σκοτεινῶν, ἐξ ἀνέμων πνευμάτων πονηροτάτων.
clouds dark from winds of-spirits most-evil
Καθαρεύοντος δὲ τοῦ τῆς καρδίας ἀέρος, ἀνένδεκτον μὴ
being-cleansed and the of-the heart air (it-is)-inadmissible not
λάμπειν φησὶν αὐτῷ τὸ θεϊκὸν φῶς Ἰησοῦ, εἰ μήτοι γε
to-shine he-says in-it the divine light of-Jesus if not indeed
ὑπὸ κενοδοξίας καὶ τύφου καὶ φανητιασμοῦ φυσώμεθα,
by vainglory and conceit and showing-off we-be-puffed-up
καὶ κουφιζόμεθα εἰς τὰ ἀκίχητα, καὶ ἀβοήθητοι πρὸς
and lifted-up to the unattainable(-things) and helpless from
Ἰησοῦ εὑρισκόμεθα αὐτοί, τῷ μισεῖν τὸν Χριστὸν τὰ
Jesus we-are-found ourselves by-the to-hate — Christ the
τοιαῦτα, τὸν τῆς ταπεινώσεως ὑποδείκτην.
such(-things) the of-the humility exemplar
Ἐχώμεθα τοίνυν εὐχῆς καὶ ταπεινώσεως τῶν δύο τούτων, 174
let-us-hold therefore to-prayer and humility the two these
ἅτινα κατὰ δαιμόνων σὺν νήψει ὁπλίζονται, οἷα μάχαιρα
which against demons with watchfulness are-armed like (a)-sword

φλόγινος· ἔξεστι γὰρ ἡμῖν οὕτω γε ποιοῦσι καθ' ἡμέραν
fiery it-is-possible for for-us thus indeed doing by day
καὶ καθ' ὥραν καρδιακῶς μυστικῶς γηθομένοις ἑορτάζειν.
and by hour in-the-heart mystically rejoicing to-keep-feast
175 Οἱ ὀκτὼ γενικώτατοι τῆς κακίας λογισμοί, ἐν οἷς
the eight most-generic of-the vice thoughts in which
περιέχεται πᾶς λογισμός, καὶ ἐξ ὧν πάντες τὴν γένεσιν
is-contained every thought and from which all the origin
ἔχουσιν (ὡς ἐκ τῆς Ἥρας τε καὶ τοῦ Διὸς πᾶς δαίμων
have as from — Hera both and — Zeus every demon
ἐναγὴς θεὸς Δαναῶν, κατὰ τοὺς ἐκείνων μύθους),
accursed god of-the-Danaans according-to the of-those myths
πάντες ἀνέρχονται ἐν πύλῃ καρδίας, καὶ τὸν νοῦν
all go-up to (the)-gate of-(the)-heart and the mind
εὑρόντες ἀφύλακτον, εἷς καθ' εἷς εἰσέρχονται ἐν ἰδίῳ
having-found unguarded one by one they-enter in (its)-own
καιρῷ. Ὁπότερος γὰρ τῶν ὀκτὼ διαλογισμὸς ἀναβὰς
time whichever for of-the eight reasoning having-gone-up
ἐν καρδίᾳ εἰσέλθῃ ἑσμὸν λογισμῶν αἰσχρῶν φάλαγγα
into (the)-heart enters (a)-swarm of-thoughts shameful (a)-phalanx
εἰσαγαγεῖν, καὶ οὕτω τὸν νοῦν σκοτίσας, ἐκκαλεῖ τὸ
to-bring-in and thus the mind having-darkened it-calls-forth the
σῶμα, τρεπόμενος εἰς ἐργασίαν αἰσχρῶν πράξεων.
body turned to (the)-working of-shameful deeds
176 Ὁ τοίνυν τὴν κεφαλὴν τηρῶν τὴν τοῦ ὄφεως, καὶ
the(-one) therefore the head watching the of-the serpent and
δι' ἀντιῤῥήσεως θυμοειδοῦς δακεθύμοις ῥήμασι χρώμενος,
through refutation spirited with-heart-biting words using
πὺξ βαλὼν δείματι ἀπεκρούσατο τὸν πολέμιον (ὃ καὶ
with-(the)-fist having-struck with-fear repelled the enemy which also
νῦν τις ἄλλος ἦν κοπιῶν), Πρῶτος τῶν καρπῶν μεταλάβοι,
now some other was toiling first of-the fruits may-partake

ὡς δοκεῖ Παύλῳ. Ὁ τοίνυν θλῶν τὴν κάραν ἐξέφυγε
as seems to-Paul the(-one) therefore crushing the head escaped
καὶ πολλοὺς πονηροὺς λογισμοὺς καὶ ἔργα πονηρότερα,
also many evil thoughts and deeds more-evil
καὶ τότε διαμένει ἀκύμαντος ἡ διάνοια, τοῦ Θεοῦ
and then remains unruffled the mind — God
ἀπεκδεχομένου τὴν αὐτῆς ἐγρήγορσιν εἰς τοὺς λογισμούς,
awaiting the its wakefulness toward the thoughts
καὶ ἀντιδωρουμένου αὐτῇ εἰδέναι, πῶς δεῖ περιγενέσθαι
and granting-in-return to-it to-know how (one)-must to-overcome
τοὺς ἀντιπαλαίοντας αὐτήν, καὶ ὅπως χρὴ καθαίρεσθαι
the(-ones) wrestling-against it and how (it)-is-needful to-be-cleansed
κατὰ μικρὸν τὴν καρδίαν, ἐκ λογισμῶν κοινούντων καὶ
by little the heart from thoughts defiling and
μιαινόντων τὸν ἐντὸς ἄνθρωπον, ὥς φησιν ὁ Κύριος, Ἐκ
polluting the inner man as says the Lord out-of
τῆς καρδίας ἐξέρχονται διαλογισμοὶ πονηροί, πορνεῖαι,
the heart come-out reasonings evil fornications
μοιχεῖαι, κἀκεῖνά εἰσι τὰ κοινοῦντα τὸν ἄνθρωπον.
adulteries and-those are the(-things) defiling the man
Ὄντως ἄρα δύναται ψυχὴ ἐν Κυρίῳ στῆναι τῇ ἑαυτῆς 177
truly then can (the)-soul in (the)-Lord to-stand in-the its-own
εὐμορφίᾳ καὶ ὡραιότητι καὶ εὐθύτητι, ὡς ἐξ ἀρχῆς
fair-form and beauty and uprightness as from (the)-beginning
πρὸς Θεοῦ ἐκτίσθη λίαν καλή τε καὶ εὐθεῖα, καθὼς φησιν
by God it-was-created very beautiful both and upright as says
ὁ μέγας τοῦ Κυρίου θεράπων Ἀντώνιος, τῆς ψυχῆς τὸ
the great of-the Lord servant Antony the soul the
νοερὸν κατὰ φύσιν ἐχούσης ἀρετῇ συνίσταται· καὶ
intellectual(-part) according-to nature holding in-virtue is-constituted and
πάλιν εἶπε· Τὸ γὰρ εὐθεῖαν εἶναι τὴν ψυχήν, τοῦτό ἐστι τὸ
again he-said the for upright to-be the soul this is the

κατὰ φύσιν νοερὸν αὐτῇ ὡς ἐκτίσθη· καὶ μετ᾽ ὀλίγα
according-to nature intellectual(-part) in-it as it-was-created and after (a)-little
αὖθίς φησι· Καθαρεύσωμεν τὴν διάνοιαν. Ἐγὼ γὰρ πιστεύω
again he-says let-us-cleanse the mind I for believe
ὅτι καθαρεύσασα ψυχὴ πανταχόθεν καὶ κατὰ φύσιν
that having-been-cleansed (the)-soul on-every-side and according-to nature
ἑστῶσα, δύναται διορατικὴ γενομένη πλείονα καὶ μακρότερα
standing can clear-sighted having-become more and farther
βλέπειν τῶν δαιμόνων, ἔχουσα τὸν ἀποκαλύπτοντα
to-see than-the demons having the revealing
Κύριον αὐτῇ· τάδε φησὶν ὁ κλεινὸς Ἀντώνιος, ὥς φησιν
Lord to-it thus says the famous Antony as says
ὁ μέγας Ἀθανάσιος ἐν τῷ περὶ Ἀντωνίου Βίῳ.
the great Athanasius in the about Antony Life

178 Πᾶς λογισμὸς φαντασία ἐν νῷ αἰσθήσει τινὸς
every thought (is)-(a)-fantasy in (the)-mind by-perception of-some
πράγματος· νοῦς γὰρ ὢν ὁ Ἀσσύριος οὐκ ἄλλως
thing (a)-mind for being the Assyrian not otherwise
ἀπατᾷν ἐξισχύει, εἰ μὴ χρήσεται τοῖς παρ᾽ ἡμῶν
to-deceive is-strong except — he-will-use the from us
αἰσθητοῖς καὶ συνήθεσιν.
sensible(-things) and familiar(-things)

179 Ὡς οὐ δυνατὸν ἄρα ὄρνεα διώκειν ἡμᾶς ἐν τῷ ἀέρι
as not possible then birds to-pursue us in the air
πτερωτὰ ὄντας ἀνθρώπους, ἢ ἀνίπτασθαι ὥσπερ κἀκεῖνα,
winged being men or to-fly-up as those
τοῦτο τῆς ἡμῶν φύσεως οὐκ ἐχούσης· οὕτως οὐ δυνατὸν
this the our nature not having thus not possible
λογισμοὺς αὐτομάτους δαιμονιώδεις περιγενέσθαι χωρὶς
thoughts spontaneous demonic to-overcome without

εὐχῆς νηπτικῆς συχνῆς, ἢ ἀτενῶς ἄγαν πρὸς Θεὸν ὄμμα
prayer watchful frequent or intently very toward God (the)-eye
νοῦ νήχεσθαι. Εἰ δὲ οὔ, γῆν θραύσεις.
of-(the)-mind to-swim if but not earth you-will-break
Εἰ ἀληθῶς ἄρα περιβαλεῖν αἰσχύνῃ τοὺς λογισμοὺς θέλεις, 180
if truly then to-cover with-shame the thoughts you-wish
καὶ ἡσυχάζειν εὐμενῶς, καὶ νήφειν τῇ καρδίᾳ μετὰ
and to-be-still kindly and to-be-watchful in-the heart with
εὐκολίας, Ἰησοῦ εὐχὴ κολληθήτω σῇ πνοῇ, καὶ ἐν
ease of-Jesus (the)-prayer let-it-be-glued to-your breath and in
ὀλίγαις ἡμέραις γινόμενον ὄψει τοῦτο.
few days happening you-will-see this
Ὡς γὰρ ἐν ἀέρι γράμματα οὐ δυνατὸν γραφῆναι· δεῖ 181
as for in air letters not (it-is)-possible to-be-written (one)-must
γὰρ αὐτὰ εἴς τι σῶμα στήσασθαι, ὅπως ἂν διαρκῆ
for them on some body to-set so-that — lasting
σώζωνται· οὕτω γε τῇ κοπηρᾷ νήψει ἡμῶν τῇ
they-be-preserved thus indeed to-the toilsome watchfulness our to-the
εὐχῇ Ἰησοῦ Χριστοῦ κολληθῶμεν, ἵνα ἡ τῆς νηφαλιότητος
prayer of-Jesus Christ let-us-be-glued that the of-the soberness
πάγκαλος ἀρετή, διαρκὴς σὺν αὐτῷ διαμένῃ, καὶ δι᾽
all-beautiful virtue lasting with him remain and through
αὐτοῦ ἡμῖν εἰς αἰῶνα διατηρῆται ἀναφαίρετος.
him for-us for ever be-kept inalienable
Κύλισον ἐπὶ Κύριον τὰ ἔργα σου, καὶ εὑρήσεις χάριν, 182
roll on (the)-Lord the works your and you-will-find grace
φησίν. Ἵνα μὴ καὶ περὶ ἡμῶν λέγηται παρὰ τοῦ προφήτου,
he-says that not also about us be-said by the prophet
Ἐγγὺς εἶ σύ, Κύριε, τοῦ στόματος αὐτῶν, πόρρω δὲ ἀπὸ
near are you Lord to-the mouth their far but from
τῶν νεφρῶν αὐτῶν. Οὐδεὶς πάρεξ Ἰησοῦ ἕτερος τὴν σὴν
the kidneys their no-one except Jesus other the your

καρδίαν σταθερῶς ἐκ παθῶν εἰρηνεύσει, εἰ μὴ αὐτὸς
heart steadfastly from passions will-bring-peace-to except — himself
Ἰησοῦς Χριστὸς ὁ τὰ πόῤῥω διεστῶτα συνάψας.
Jesus Christ the(-one) the far separated(-things) having-joined
183 Ὁμοίως ἀμφότερα τὴν ψυχὴν σκοτοῦσι, καὶ αἱ κατὰ
alike both the soul darken both the in
διάνοιαν τῶν λογισμῶν ὁμιλίαι, καὶ αἱ ἔξωθεν συντυχίαι
thought of-the thoughts conversations and the outside meetings
καὶ ἀργολογίαι. Χρὴ δὲ ἐκτρεπόμενοι τὴν τοῦ νοῦ
and idle-talks (it)-is-needful and turning-away-from the of-the mind
βλάβην, ἀργολογεῖν ἀμφοτέρους ἀγαπῶντας λυπεῖν, καὶ
harm to-idle-talk both loving to-grieve both
λογισμοὺς καὶ ἀνθρώπους, δι᾽ αἰτίαν εὐλογωτάτην κατὰ
thoughts and men for reason most-reasonable according-to
Θεόν, ἵνα μὴ σκοτιζόμενος ὁ νοῦς χαώσῃ τὴν νῆψιν.
God that not darkened the mind confound the watchfulness
Ἐκ γὰρ λήθης σκοτούμενοι τὸν νοῦν ἀπόλλυμεν.
from for forgetfulness darkened the mind we-lose
184 Ὁ γὰρ πάσῃ σπουδῇ τηρῶν ἀεὶ τὴν καθαρότητα
the(-one) for with-all zeal keeping always the purity
τῆς καρδίας, ἕξει διδάσκαλον τὸν ταύτης νομοδότην
of-the heart will-have (as)-teacher the of-it lawgiver
Χριστόν, μυστικῶς αὐτῷ λαλοῦντα τὸ θέλημα αὐτοῦ.
Christ mystically to-him speaking the will his
Ἀκούσομαι τί λαλήσει ἐν ἐμοὶ Κύριος ὁ Θεός, φησὶν
I-will-hear what will-speak in me (the)-Lord — God says
ὁ Δαβὶδ τοῦτο ἐμφαίνων· τὴν δὲ τοῦ νοῦ πρὸς ἑαυτὸν
— David this showing the and of-the mind toward itself
ἐμμελῆ ἐπίσκεψιν περὶ τοῦ νοητοῦ πολέμου δηλῶν, καὶ
harmonious examination about the intelligible war showing also
τὴν τοῦ Θεοῦ ἀντιληπτικὴν ὑπεράσπισιν ἔλεγε· Καὶ ἐρεῖ,
the — of-God helping protection he-said and will-say

φησίν, ἄνθρωπος· Ἄρα ἔσται καρπὸς τῷ δικαίῳ;
he-says (a)-man then will-there-be fruit for-the righteous
Εἶτα τὸ ἐκ τῆς συζητήσεως σκέμμα ἄμφω ἐκρηθὲν ὡς
then the from the inquiry consideration both spoken-out as
ἐκφαίνων λέγει· Ἄρά ἐστιν ὁ Θεὸς κρίνων αὐτοὺς ἐν
showing he-says then is — God judging them on
τῇ γῇ· τοὺς πονηροὺς δαίμονας ἐν τῇ γῇ τῆς καρδίας
the earth the evil demons on the earth of-the heart
ἡμῶν. Καὶ ἀλλαχοῦ φησι, Προσελεύσεται ἄνθρωπος καὶ
our and elsewhere he-says will-approach (a)-man and
καρδίᾳ βαθείᾳ, καὶ ὑψωθήσεται ὁ Θεός, καὶ τότε αἱ
(a)-heart deep and will-be-exalted — God and then the
πληγαὶ αὐτῶν ὡς βέλη νηπίων ἡμῖν λογισθήσονται.
blows their like arrows of-infants by-us will-be-reckoned
Ἐν σοφίᾳ πεπεδημένοι τὴν καρδίαν ἀεὶ διάγωμεν κατὰ 185
in wisdom fettered the heart always let-us-live according-to
τὸν Ἱεροψάλτην, αὐτὴν τὴν τοῦ Πατρὸς Θεοῦ δύναμιν,
the Sacred-Psalmist the-very the of-the Father God power
καὶ Θεοῦ σοφίαν Χριστὸν Ἰησοῦν ἀναπνέοντες. Εἰ δὲ
and of-God wisdom Christ Jesus breathing if but
καὶ ἐκ περιστάσεώς τινος χαυνωθέντες, τῆς νοητῆς
even from circumstance some slackened the intelligible
κατωλιγορήσομεν πράξεως, τῇ ἑξῆς πρωΐᾳ πάλιν τὴν
we-neglect work on-the next morning again the
ὀσφὺν τοῦ νοὸς καλῶς περισφίγξομεν, καὶ κραταιῶς τοῦ
loins of-the mind well we-shall-gird and mightily the
ἔργου πάλιν ἁψόμεθα, εἰδότες ὅτι οὐκ ἔστιν ἡμῖν ἀπολογία
work again we-shall-touch knowing that not is for-us defense
τὸ καλὸν ἐγνωκόσιν, ἐὰν μὴ αὐτὸ πράξωμεν.
the good to-(those)-having-known unless — it we-do

186 Ὥσπερ τὰ νοσοποιὰ βρώματα ἐμβληθέντα προσφάτως
as the disease-making foods thrown recently
ἐν σώματι ἐνοχλεῖ, ὁ δὲ φαγὼν εὐθὺς τῆς βλάβης
into (the)-body trouble(-it) the(-one) but having-eaten at-once the harm
αἰσθόμενος, θᾶττον διά τινος ἐμέσας φαρμάκου ταῦτα
perceiving sooner through some having-vomited medicine them
ἀπήμαντος διέμεινεν· οὕτω καὶ ὁ νοῦς ὅτε πονηροὺς
unharmed remained thus also the mind when evil
λογισμοὺς δεξάμενος κατέπιεν ἢ κατέφαγεν, αἰσθητῶς τῆς
thoughts having-received it-swallowed or ate perceptibly the
πικρίας αὐτῶν, εὐχῇ Ἰησοῦ Χριστοῦ ἐκ βαθέων καρδίας
bitterness their by-prayer of-Jesus Christ from (the)-depths of-(the)-heart
εὐκόλως τούτους ἐξεμέσας, καὶ τέλεον ἀποβάλλεται, ὡς
easily these having-vomited also perfectly casts-off as
σὺν Θεῷ ἡ μάθησις καὶ ἡ πεῖρα τῇ μαθήσει νενοηκέναι
with God the learning and the experience by-the learning to-have-understood
περὶ τοῦ προκειμένου παρέδωκε τοῖς νήφουσιν.
about the matter-at-hand handed-down to-the(-ones) watching

187 Εἰς πνοὴν τῆς ῥινός, νῆψιν ἕνωσον καὶ Ἰησοῦ ὄνομα,
with (the)-breath of-the nostril watchfulness unite and of-Jesus (the)-name
καὶ μελέτην θανάτου, ἀλάθητον ταπείνωσιν· ὠφελεῖν
and (the)-meditation of-death unescaping humility to-benefit
γὰρ λίαν οἴδασι τὰ ἀμφότερα.
for very know the both

188 Εἶπεν ὁ Κύριος· Μάθετε ἀπ᾽ ἐμοῦ ὅτι πρᾶός εἰμι καὶ
said the Lord learn from me that meek I-am and
ταπεινὸς τῇ καρδίᾳ.
humble in-the heart

189 Εἶπεν ὁ Κύριος· Ὅστις ταπεινώσει ἑαυτόν, ὡς τὸ παιδίον
said the Lord whoever will-humble himself as the child
τοῦτο, ὑψωθήσεται· ὑψῶν δὲ ἑαυτὸν ταπεινωθήσεται.
this will-be-exalted exalting but himself will-be-humbled

— Ἀπ᾽ ἐμοῦ, φησί, μάθετε. Ὁρᾷς ὅτι μάθησίς ἐστιν
from me he-says learn you-see that learning is
ἡ ταπείνωσις. Ὁ μὴ ταπεινὸς οὖν, τῆς ζωῆς
the humility the(-one) not humble then from-the life
ἀπωλίσθησε, καὶ ἐναντίος δηλονότι εὑρεθήσεται.
slipped and opposed clearly will-be-found
Εἰ γὰρ πᾶσα ἀρετὴ διὰ ψυχῆς καὶ σώματος κτίζεται. 190
if for every virtue through soul and body is-created
Κτίσμα δὲ Θεοῦ καὶ ἡ ψυχὴ καὶ τὸ σῶμα, δι᾽ ὧν ἡ
(the)-creation and of-God (are)-both the soul and the body through which the
ἀρετή, ὡς ἔφην, συνίσταται, πῶς οὖν ἀσχέτως μαινόμεθα
virtue as I-said is-constituted how then unrestrainedly are-we-mad
ἐπ᾽ ἀλλοτρίοις κόσμοις κομπάζοντες ψυχῆς τε καὶ σώματος;
over others' ornaments boasting of-soul both and of-body
καὶ κενοδοξοῦντες ἐπαιρόμεθα, καὶ ὑπερηφάνοις ὡς ἐπὶ
and being-vainglorious are-lifted-up and in-proud(-thoughts) as on
καλαμίνης ῥάβδου φυσώμενοι, στηριζόμεθα· ὡς καὶ τὸν
(a)-reed staff puffed-up are-supported so-that also the
ἀπειρομεγέθη Θεὸν ἡμῶν διεγείρομεν τὸν φρικτώτατον διὰ
infinitely-great God our we-rouse the most-awesome because-of
τὴν ἄγαν ἡμῶν ἀνομίαν τε καὶ ἄνοιαν. Κύριος ὑπερηφάνοις
the excessive our lawlessness both and folly (the)-Lord (the)-proud
ἀντιτάσσεται· καὶ ἀντὶ τοῦ μιμεῖσθαι τὸν Κύριον ἐν
resists and instead-of the to-imitate the Lord in
ταπεινώσει, τῷ τοῦ Κυρίου δυσμενεῖ φιλιούμεθα ὑπερηφάνῳ
humility the of-the Lord enemy we-befriend (the)-proud
δαίμονι, ἐκ κενοδόξου καὶ ὑπερηφάνου φρονήματος· τούτου
demon from vainglorious and proud mind of-this
γὰρ ἕνεκεν ἔλεγεν ὁ Ἀπόστολος· Τί γὰρ ἔχεις, φησίν;
for for-the-sake said the Apostle what for have-you he-says
ὃ οὐκ ἔλαβες ἀπὸ Θεοῦ; μὴ σὺ σαυτὸν ἔκτισας; Εἰ δὲ
which not you-received from God not you yourself created if but

σῶμα καὶ ψυχὴν ἐξ ὧν καὶ ἐν οἷς καὶ δι' ὧν πᾶσα
body and soul from which and in which and through which every
ἀρετὴ συνίσταται, παρὰ Θεοῦ ἔλαβες, τί καυχᾶσαι ὡς μὴ
virtue is-constituted from God you-received why boast-you as not
λαβών; Κύριος γάρ σοι ὁ τάδε δωρούμενος.
having-received (the)-Lord for (is)-to-you the(-one) these(-things) granting

191 Ἄλλως οὐκ ἄλλο τί ἐστι καθαρισμὸς καρδίας, δι'
otherwise not other anything is (the)-cleansing of-(the)-heart through
οὗ καὶ ταπείνωσις καὶ ἀγαθὸν ἅπαν ἐν ἡμῖν εὑρίσκεται
which also humility and good every in us is-found
καταβαῖνον ἄνωθεν, εἰ μὴ τὸ μηδ' ὅλως παραχωρεῖν
coming-down from-above except — the not at-all to-allow
τοὺς λογισμοὺς προκύπτοντας εἰσελθεῖν.
the thoughts peering-in to-enter

192 Νοὸς γὰρ φυλακὴ σὺν Θεῷ καὶ διὰ μόνου Θεοῦ ἐν
of-(the)-mind for (the)-guard with God and through only God in
ψυχῇ ἐγχρονίσασα φρόνησιν παράσχει τῷ ἡγεμονικῷ ἐν
(the)-soul having-persevered prudence will-provide to-the ruling(-part) in
τοῖς κατὰ Θεὸν ἀγωνίσμασιν· οὐκ ὀλίγην δὲ ἱκανότητα
the according-to God contests not small and sufficiency
τῷ μετόχῳ χορηγεῖ, ἐν τῷ οἰκονομεῖν τὰ ἔργα καὶ τοὺς
to-the partaker it-supplies in the to-manage the works and the
λόγους ἐν κρίσει εὐαπόδεκτα κατὰ Κύριον.
words in judgment acceptable according-to (the)-Lord

193 Τὰ τοῦ ἱερέως δῆλα ἐν τῷ παλαιῷ προτυπώματα
the of-the priest manifest(-things) in the old prefigurations
καρδίας καθαρᾶς ὑπῆρχον, ἵνα καὶ ἡμεῖς πρόσχωμεν τῷ
of-(the)-heart pure were that also we may-attend to-the
τῆς καρδίας πετάλῳ, μήπως ἐξ ἁμαρτίας μεμελάνωται,
of-the heart plate lest-perhaps from sin it-has-been-blackened
ἵνα δάκρυσι καὶ μετανοίᾳ, καὶ προσευχῇ ἀποσμήχωμεν.
that with-tears and repentance and prayer we-may-wipe-it-clean

Εὔκολον γάρ τι πρᾶγμα ὁ νοῦς, καὶ πρὸς τὰς
easy for something thing (is)-the mind and toward the
ἀνόμους ἐνθυμήσεις δυσκάθεκτον, ὁμοίως κακαῖς τε καὶ
lawless imaginings hard-to-restrain alike evil both and
ἀγαθαῖς φαντασίαις λογιστικαῖς εὐκόλως ἐξακολουθοῦν,
good fantasies rational easily following
Μακάριος ὄντως ᾧ οὕτω κεκόλληται Ἰησοῦ εὐχὴ 194
blessed truly (he)-to-whom thus is-glued of-Jesus (the)-prayer
ἐν διανοίᾳ, καὶ φωνεῖ αὐτὸν ἀδιαλείπτως ἐν καρδίᾳ, ὥσπερ
in (the)-mind and he-calls him unceasingly in (the)-heart as
ἥνωται ὁ ἀὴρ τοῖς ἡμῶν σώμασιν, ἢ ὡς φλὸξ κηρῷ. Καὶ
is-united the air to-the our bodies or as (a)-flame to-wax and
διερχόμενος μὲν ἥλιος ὑπὲρ γῆν ποιήσει ἡμέραν· τὸ δὲ
passing-through indeed (the)-sun over (the)-earth will-make day the but
Κυρίου Ἰησοῦ ἅγιον ὄνομα καὶ σεβάσμιον ἐν διανοίᾳ λάμπον
of-(the)-Lord Jesus holy name and venerable in (the)-mind shining
τῇ συνεχείᾳ, γεννήσει ἀναριθμήτους ἡλιοειδεῖς ἐννοίας.
by-the continuity will-beget countless sun-like thoughts
Καὶ διασκεδασθέντων μὲν νεφῶν, ἀὴρ καθαρὸς δείκνυται. 195
and scattered indeed (the)-clouds (the)-air pure is-shown
Φαντασίαι δὲ ὑπὸ τοῦ Ἡλίου τῆς δικαιοσύνης Ἰησοῦ
fantasies and by the Sun of-the righteousness Jesus
Χριστοῦ διασκεδασθεῖσαι καὶ λεανθεῖσαι, φεγγοειδῆ καὶ
Christ scattered and smoothed light-like and
ἀστεροειδῆ νοήματα γεννᾶσθαι ἐν καρδίᾳ ἐκ παντὸς
star-like notions to-be-begotten in (the)-heart from all(-sides)
πεφύκασι τοῦ ἀέρος αὐτῆς διὰ Ἰησοῦ φωτισθέντος·
are-wont the air its through Jesus having-been-enlightened
φησὶ γὰρ ὁ Ἐκκλησιαστής· Οἱ πεποιθότες ἐπὶ Κύριον,
says for — Ecclesiastes the(-ones) having-trusted in (the)-Lord

συνήσουσιν ἀλήθειαν· καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν
will-understand truth and the faithful in love will-wait-for
αὐτῷ. Ὧ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.
him to-whom (be)-the glory to the ages amen

196 Ἐν μὲν τοῖς ὄπισθεν λόγοις τοῖς ἐν πρώτῃ καὶ δευτέρᾳ
in indeed the behind words the(-ones) in (the)-first and second
ἑκατοντάδι, τοὺς τῆς ἱερᾶς νοῦ ἡσυχίας πόνους
century the of-the sacred of-(the)-mind stillness labors
συνετάξαμεν, οὐχὶ γεώργιον τῆς ἐμῆς διανοίας μόνον, ἀλλ᾽
we-set-in-order not (a)-farm of-the my mind only but
ἅπερ καὶ οἱ τῶν θεοσόφων Πατέρων διδάσκουσιν ἡμᾶς
what also the of-the God-wise Fathers teach us
θεῖοι λόγοι περὶ νοῦ καθαρότητος. Νῦν δὲ μικρὰ
divine words about of-mind purity now but little(-things)
εἰπόντες ὅσον δεῖξαι τὸ κέρδος τῆς τοῦ νοῦ φυλακῆς,
having-said so-as to-show the gain of-the of-the mind guard
τοῦ λέγειν παυσόμεθα.
from-the to-speak we-shall-cease

197 Δεῦρο δὴ λοιπὸν ἀκολούθει μοι πρὸς τὴν συνάφειαν τῆς
come indeed now follow me to the union of-the
μακαρίας τοῦ νοῦ τηρήσεως, ὅστις ἂν εἴης, καὶ ἐπιποθῶν
blessed of-the mind keeping whoever — you-be and longing
ἐν πνεύματι ἡμέρας ἰδεῖν ἀγαθάς, καὶ ἐν Κυρίῳ διδάξω
in spirit days to-see good and in (the)-Lord I-will-teach
σε ὁρωμένην ἐργασίαν καὶ πολιτείαν νοερῶν δυνάμεων.
you (the)-visible working and way-of-life of-intellectual powers

198 Οὐ γὰρ κορεσθήσονται ἄγγελοι ὑμνοῦντες τὸν Ποιητήν,
not for will-be-sated angels hymning the Maker
οὔτε νοῦς ἁμιλλώμενος· καὶ ὥσπερ οἱ ἄϋλοι οὐ
nor (the)-mind vying and as the immaterial(-ones) not
φροντίζουσι περὶ τροφῆς, οὕτως οὐδὲ οὗτοι οἱ ἔνυλοι
care about food thus not-even these the material(-ones)

αὐτῆς φροντίζουσιν, εἴγε ἐν οὐρανῷ ἡσυχίας νοῦς
for-it care if-indeed into (the)-heaven of-stillness (the)-mind
εἰσελεύσεται.
will-enter
Ὥσπερ οὖν αἱ ἄνω δυνάμεις οὐ φροντίζουσι χρημάτων 199
as then the above powers not care for-money
ἢ κτημάτων, οὕτως οὔτε οἱ τὸ τῆς ψυχῆς ὀπτικὸν
or possessions thus neither the(-ones) the of-the soul seeing(-power)
ἐκκαθάραντες, ἐν ἕξει τῆς ἀρετῆς γενόμενοι, οὐ μεριμνήσουσι
having-cleansed in habit of-the virtue having-come not will-be-anxious
περὶ κακώσεως τῶν πονηρῶν πνευμάτων. Καὶ ὡς ἐκείνοις
about harm of-the evil spirits and as to-those
φανερὸς τῆς εἰς Θεὸν προκοπῆς ὁ πλοῦτος, οὕτω καὶ
(is)-manifest of-the toward God progress the wealth thus also
τοῖς τοιούτοις ὁ εἰς Θεὸν φανερὸς ἔρως, καὶ ἡ τῆς
to-the such the toward God manifest love and the of-the
ἀγάπης τῆς εἰς τὸ Θεῖον ἀτένισίς τε καὶ ἀνάβασις· ἔτι
love the(-love) toward the Divine gazing both and ascent yet
δὲ ἐρωτικῶς καὶ ἀπλήστως τῇ ἀναβάσει ἐπεκτεινόμενοι
and lovingly and insatiably in-the ascent stretching-forward
ἐκ γεύσεως θείου καὶ ἐκστατικοῦ πόθου, οὐ σταθήσονται
from tasting of-divine and ecstatic longing not they-will-stop
μέχρι τὰ Σεραφὶμ φθάσουσιν, οὐδὲ κοπιάσουσι τῆς τοῦ
until the Seraphim they-reach nor will-they-tire of-the of-the
νοῦ νήψεως, καὶ ἐρωτικῆς ὑψώσεως, μέχρις ἂν ἄγγελοι
mind watchfulness and loving exaltation until — angels
γένωνται ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν.
they-become in Christ Jesus the Lord our
Οὐκ ἔστιν ἰὸς ὑπὲρ ἰὸν ἀσπίδων καὶ βασιλίσκου, 200
not there-is venom beyond (the)-venom of-asps and of-basilisk
καὶ οὐκ ἔστι κακία ὑπὲρ κακίαν φιλαυτίας. Τέκνα
and not there-is vice beyond (the)-vice of-self-love (the)-children

δὲ φιλαυτίας ἔχεις πετόμενα, ἅ εἰσι τάδε· ἔπαινοι ἐν
and of-self-love you-have flying(-ones) which are these praises in
καρδίᾳ, ἀπαρέσκεια, γαστριμαργία, πορνεία, κενοδοξία, καὶ
(the)-heart displeasure gluttony fornication vainglory and
ἡ κορωνὶς πάντων ὑπερηφανία, ἥτις κατασπᾷν ἐπίσταται,
the crown of-all pride which to-drag-down knows
οὐκ ἀνθρώπους μόνον, ἀλλὰ καὶ ἀγγέλους ἐξ οὐρανῶν, καὶ
not men only but also angels from (the)-heavens and
ζόφον ἀντὶ φωτὸς περιβάλλειν. Ταῦτά σοι, Θεόδουλε,
gloom instead-of light to-put-around these(-things) to-you Theodulus
ὁ ἡσυχίας φερώνυμος, εἰ καὶ τῆς πράξεως διέψευσται,
the(-one) of-stillness named-after if even the deed has-fallen-short-of
ἀλλ' ἴσως οὐχ ὅλον, ἀλλ' ὃ Θεὸς δέδωκεν ὁ ἐν Πατρί,
but perhaps not whole but what God has-given the(-one) in Father
καὶ Υἱῷ, καὶ ἁγίῳ Πνεύματι αἰνούμενός τε καὶ δοξαζόμενος
and Son and holy Spirit praised both and glorified
ὑπὸ τῆς λογικῆς φύσεως, ἀγγέλων τε καὶ ἀνθρώπων καὶ
by the rational nature of-angels both and of-men and
πάσης κτίσεως, ἣν ἡ ἄῤῥητος Τριὰς δεδημιούργηκεν· ὁ
of-all creation which the ineffable Trinity has-fashioned the
εἷς Θεός, οὗ καὶ ἡμεῖς τῆς λαμπρᾶς βασιλείας, εὐχαῖς
one God of-whom also we the bright kingdom by-(the)-prayers
τῆς ὑπεράγνου Θεοτόκου τύχοιμεν, καὶ εὐχαῖς τῶν ὁσίων
of-the most-pure Theotokos may-obtain and by-(the)-prayers of-the holy
Πατέρων ἡμῶν· ᾧ Θεῷ ἀκιχήτῳ δόξα αἰώνιος. Ἀμήν.
Fathers our to-whom God unattainable (be)-glory eternal amen